f. 38 γνοῦσα ἐξ αἵματος βασιλικοῦ πεφυκέναι, τῶν ἄλλων | ἁπασῶν διαστέλλει καὶ ταύτην χειροκρατοῦσα τῷ βασιλεῖ προσκομίζει. ἀπόπειραν δὲ καὶ τῶν ἄλλων ποιήσασα, καὶ ἑτέρας δύο σὺν αὐτῇ προσλαμβάνει, τήν τε ἐξ Ἀθηνῶν ὁρμωμένην καὶ τὴν τοῦ τριβούνου θυγατέρα γνωριζομένην· τὰς δὲ λοιπὰς πάσας δώροις καὶ χρήμασι πολλοῖς φιλοτιμησαμένη, πρὸς τὰ οἰκεῖα ταύτας ἀποστραφῆναι κελεύει. ταύτας γὰρ τὰς τρεῖς μόνας εἰς τὰ βασίλεια μεθ' ἑαυτῆς ἀγαγοῦσα, τὴν ἀπόπειραν τούτων ἐν γυμνασίῳ ἐποίει. κατιδοῦσα δὲ πλέον τὴν ὡραιότητα τῆς ἁγίας ὑπερβάλλουσαν τῶν ἑτέρων, ταύτην βασιλικοῖς ἀμφιάσμασιν ἀμφιάζει καὶ ἐκ τῆς δεξιᾶς χειρὸς αὐτὴν συλλαβοῦσα πρὸς τὸν ἄνακτα καὶ σύνευνον αὐτῆς Βασίλειον εἰσῆλθεν· καὶ ταύτην εἰς τοὺς ἐκείνου πόδας βαλοῦσα, ἀξίαν εἶναι νύμφην εἰς τὸν υἱὸν ἐξεφώνει. ὁ δὲ βασιλεὺς καὶ αὐτὸς ἐπὶ τῷ ἀμωμήτῳ κάλλει τῆς κόρης θαυμάσας, ἐξαγαγὼν ἐκ τοῦ κόλπου αὐτοῦ τὸ ἐξ ἰασπίνου λίθου κατασκευασθὲν αὐτῷ δακτυλίδιον εἰς τὴν χεῖρα τῆς νεάνιδος ἐπεμβάλλει. καὶ ἔκτοτε ἡ νέα μελλοβασίλισσα τοὺς ἀρραβῶνας λαβοῦσα τῇ πιστοτάτῃ αὐγούστῃ καὶ κηδεστρίᾳ ὡς μητρὶ συμπαρῴκει.

11. Ὀλίγου δὲ χρόνου παρῳχηκότος, καὶ ἡ τῶν γαμηλίων εὐτρεπίζετο πανδαισία· καὶ τῶν θαλάμων ἀναπλεχθέντων, ὁ χριστέραστος τούτων κατεστέφετο γάμος [7]) καὶ πολυτελῆ δεῖπνα καὶ δῶρα τοῖς ὑπηκόοις παρείχοντο πτωχοτροφίαι τε καὶ εὐποιίαι ἀνὰ πᾶσαν τὴν πόλιν δαψιλῶς ἐμπαρείχοντο, καταδίκων ἐλευθερίαι καὶ αἰχμαλώτων ἐπαναρρύσεις κατὰ τόπον ἐγένοντο, χαραὶ δὲ καὶ εὔκλειαι καὶ τιμαὶ τῇ πάσῃ συγκλήτῳ εἰς κόρον ἐδίδοντο· τὰ τέκνα τῆς ἑπταλόφου [8]) στεφηφοροῦντα τοῖς ἄνθεσιν ὕμνους τῷ βασιλεῖ προσεπῇδον, πόλεις πᾶσαι καὶ χῶραι χαρμονικῶς ἐπεκρότουν καὶ βασιλεὺς ἀξίως ὑπὸ τοῦ υἱοῦ ἐτιμᾶτο καὶ ὁ χρόνος ἐν ἀγαθοῖς τὴν εὐημερίαν παρέχων τὴν δαψιλῆ χορηγίαν τοὺς οἰκήτορας τῆς πόλεως ἐπρυτάνευεν. οἱ δὲ πιστοὶ βασιλεῖς, τῆς ἐκκλησίας ὀρθοτομού-

---

4. viell. τὰ τ. π. προποδίσματα? (vgl. 5,30) 5. ἡτοιμάσθην 10. γνοῦσαν 13. θυγατέρα (am Ende ν ausradiert) 16. καθιδοῦσα 19. βαλλοῦσα 21. ὑάσπίνου (vgl. 18,26) 22. ἐπεμβάλει 25. γαμιλίων 28. εὐποιεῖαι (korrig. in εὐποιΐαι) ἐπαρείχοντο 30. συγκλείτω 31. ὕμνοις πρόσεπήδων (die beiden ersten Zeichen wegradiert).

σης, δικαίως καὶ ἐννόμως τὰ σκῆπτρα τῆς βασιλείας διεῖπον. καὶ τούτων πάντων οὕτως ἐχόντων, οὐ μετὰ πολὺν χρόνον ἡ θεοφιλὴς καὶ θεία αὐγούστα, | f. 38 v. ἡ μήτηρ τοῦ νέου καὶ σύμβιος τοῦ πιστοῦ Βασιλείου, τέλει τοῦ βίου χρησαμένη πρὸς κύριον ἐξεδήμησεν. καὶ ὁ μὲν ἄναξ Βασίλειος τὴν διάζευξιν αὐτῆς ὠδύρετο, ὁ δὲ υἱὸς καὶ βασιλεὺς πάνσοφος Λέων τὴν στέρησιν τῆς μητρὸς ἐδυσφόρει, ἡ νέα δὲ αὐγούστα καὶ νύμφη τῆς δευτέρας μητρὸς καὶ φαιδρᾶς κηδεστρίας τὸν χωρισμὸν προσεπένθει. καὶ αὖθις ὁ βασιλεὺς τῇ νέᾳ νύμφῃ αὐγούστῃ τὴν ἀρχὴν τῆς ἐξουσίας ἐγχειρίζει καὶ τὸν τῆς μητρὸς ἀναπληροῦν παρακελεύεται τόπον[9]· καὶ εἰς τὰ βασίλεια ταύτην ἱδρύσας, ὡς πατὴρ γνήσιος τὴν αὐτοῦ φιλοστοργίαν ἐδείκνυε.

12. Ὁ δὲ ἀεὶ τὴν κακίαν τεκταίνων διάβολος, ὁ εὑρετὴς τοῦ ψεύδους καὶ τῆς ἀληθείας ἐχθρός, ὁ ἀεὶ πολεμῶν τὴν ἀνθρωπίνην φύσιν, εἰς φθόνους καὶ φόνους ταύτην ἐμβάλλει. μὴ φέρων τὸ εἰρηνικὸν ἦθος τοῦ εὐσεβοῦς βασιλέως, ἀλλὰ σπεύδων αὐτὸν εἰς ταραχὰς καὶ ματαίας φροντίδας εἰσαγαγεῖν, εἰσέρχεται εἰς τὴν καρδίαν τοῦ ἀββᾶ Θεοδώρου, τοῦ διὰ τὸν τόπον Σανταβαρηνοῦ[10]) προσκληθέντος, μᾶλλον δὲ διὰ τὸν τρόπον Σατᾶν Βαριησοῦς ὀνομασθέντος, — τὸν τηνικαῦτα μὲν τῷ βασιλεῖ γνωστὸν πεφηνότα, μετ' οὐ πολὺ δὲ ἐχθρὸν καὶ ἀλαζόνα διὰ κακίαν ὀφθέντα. καὶ τούτου τὴν καρδίαν πρὸς φόνον ἀνάπτει καὶ τὴν γλῶτταν πρὸς λοιδορίας ὀτρύνας, δόλους καὶ συκοφαντίας συρράπτειν κατὰ τοῦ νέου διδάσκει καὶ διάβολον αὐτὸν ἐρεθίζει γενέσθαι τῆς τοῦ νέου ἄνακτος ἱερᾶς πολιτείας, ἵνα διὰ τῶν ἐκείνου ἀθέων ῥημάτων τῆς φιλοτεκνίας τὸν πόθον σκελίσας καὶ τὸν παῖδα τῶν πατρικῶν σπλάγχνων ἐκσπάσας· διὸ καὶ δόλους καὶ συκοφαντίας κρυφίως συρράπτειν καὶ συλλέγειν ἐπιχειρεῖ καὶ τὴν εὐμενῆ καὶ πραεῖαν ψυχὴν διὰ κακίας πειρᾶται ταράττειν καὶ λόγοις αἰσχίστοις σκώπτειν τὸν ἄκακον ἐπιχειρεῖ καὶ παραίτιον αὐτὸν εἶναι λέγει τοῦ πατρῴου θανάτου ἐπίβουλόν τε καὶ τῆς ζωῆς στηλιτεύει καὶ (ἁπλῶς εἰπεῖν) ἐχθρὸν καὶ πολέμιον καὶ ἀντάρτην τὸν πρᾶον καὶ ἥσυχον καὶ εἰρηνικὸν διαβάλλει· τὸν γὰρ φθόνον ἐν τῇ καρδίᾳ ὠδίνας, τὸν φόνον ἐργάσασθαι ἐμελέτα· οὐ γὰρ ἐπαύσατο νύκτα καὶ ἡμέραν ὡς ὄφις τὸν ἰὸν προσεκχέειν εἰς τὰ ὦτα τοῦ δικαίου καὶ | f. 39 ἀγαθοῦ βασιλέως, μέχρις ὅτου αὐτοῦ τὴν φιλότεκνον γνώμην εἰς ὀργὴν κατὰ τοῦ υἱοῦ καὶ βασιλέως ἐπῆρε· τὸ χρηστὸν γὰρ ἦθος τῆς δικαίας ἐκείνης ψυχῆς διαλύσας, ἐκμανῆ τὸν πατέρα πρὸς τὸν υἱὸν ἀπεργάζεται καὶ τούτου τὰ σπλάγχνα διὰ κακίας συγκλείσας, τῆς φύσεως ἐπιλαθέσθαι παρασκευάζει· εἰώθασι γὰρ ἤθη χρηστὰ ὁμιλίαι κακαὶ δια-

---

2. θεῖα 4. ὀδύρετο 8. ἀναπληρεῖν (vgl. 4,27) 15. σανταβαρινοῦ 16. τόπον σατᾶν βαρτασίως (über Βαριησοῦς vgl. Act. 13,6: εὗρον ἄνδρα τινὰ μάγον, ψευδοπροφήτην Ἰουδαῖον, ᾧ ὄνομα Βαριησοῦς. Auch bei Ps.-Symeon p. 694, l. 11 heisst Santabarenos σατανώνυμος und ἀρχιμάγος) 18. ὠφθέντα (aber 8,21 ὀφθεῖσα) 19. συράπτειν (ebenso Z. 23) 22. ἐκσπάσας — Lücke oder Anakoluth? 23. ἐπιχειρεῖ scil. Σανταβαρηνός πραίαν 28. παύσατο 33. ἤθη χρηστὰ — διαφθείρειν Eur. fr. 1024 Nauck; vgl. I Cor. 15, 33

φθείρειν, καθάπερ καὶ ῥανὶς ἐνδελεχοῦσα κοιλαίνει πέτραν. διὸ καὶ ἀκρίτως (μᾶλλον δὲ ἀνεξετάστως εἰπεῖν) τὸν υἱὸν καὶ ἀγαθὸν βασιλέα Λέοντα τῆς ἀρχῆς ἀπορρίπτει· καὶ ἀποκήρυκτον αὐτὸν τῆς βασιλείας ποιήσας, ὡς ἐν εἱρκτῇ τινι ἐνὶ κοιτῶνι ἀπρεπῶς κατακλείει [11]), μηδένα ἄλλον μετ' αὐτοῦ συγχωρήσασθαι διάγειν κελεύσας, πλὴν τῆς γαμετῆς αὐτοῦ καὶ τοῦ τέκνου. τῇ γὰρ ἐνδείᾳ τῶν χρειῶν αὐτοὺς συμπεδήσας, φυλάττεσθαι αὐτοὺς παρὰ τῶν ἐναντίων κελεύει, μέχρις ὅτου τὰ κατ' αὐτὸν ἐξετάσας τοῖς οἰκείοις χρήσηται νόμοις.

13. Τούτων οὕτως κατὰ συγχώρησιν θείαν τελεσθέντων, ὁ μὲν ἐχθρὸς καὶ ἀποστάτης ἀββᾶς Θεόδωρος (ἀνάξιος μὲν τοῦ βῆτα, ἐπάξιος δὲ τοῦ μῦ [12]) διὰ τὴν κακίαν) ἔχαιρεν, ἐκρότει, φανερῶς μὲν τὸ δοκεῖν ἀγαλλόμενος, κρυπτῶς δὲ δεδιὼς καὶ ὡς Καΐν κλονούμενος, μή πως ὁ τῆς κακίας αὐτοῦ διαγινωσκόμενος τρόπος εἰς ἄμυναν καὶ ἀνταπόδοσιν τὸν πατέρα καὶ βασιλέα κινήσῃ. ὁ δὲ πρᾳὺς καὶ ἄκακος καὶ ἀγαθὸς Λέων ὁ ἄναξ, ὡς ἐν εἱρκτῇ τῷ κοιτῶνι συγκεκλεισμένος καὶ τὴν τοῦ πατρὸς ὀργὴν ὡς θεοῦ ἀπειλὴν ὑπομένων, ὡς υἱὸς πατρὶ ὑπήκοον μέχρι θανάτου ἑαυτὸν παρεδίδου, ἤσχαλλε δὲ καὶ ἐδυσφόρει τὴν χρείαν τῶν ἀναγκαίων στερούμενος· βλέπων γὰρ τὴν γαμετὴν καὶ τὴν παῖδα [13]) δι' αὐτὸν μετ' αὐτοῦ τῇ εἱρκτῇ συγκλεισθέντας, τὴν ψυχὴν πλέον διεπρίετο καὶ τὸ ὄμμα πρὸς θεὸν συχνῶς ἀτενίζων σὺν δάκρυσι, τὸ πρόσωπον τοῖς γόνασι κατακρύπτων, ἀλαλήτῳ φωνῇ σιγῶν τὸν θεὸν εἰς βοήθειαν ἐξεζήτει. ἡ δὲ τούτου γαμετή, ἡ ἁγία Θεοφανώ, ἡ ὄντως νέα Σάρρα ἡ τῷ Ἀβραὰμ ἐν πάσαις ταῖς θλίψεσι συναλγοῦσα, ἡ δευτέρα ὀφθεῖσα Ῥεβέκκα διὰ τὸν τρόπον, ὡς ἐκεῖναι τοίνυν, οὕτω καὶ
f. 39 v. αὐτὴ | τὸν τίμιον καὶ πιστὸν ὑπαλείφουσα ἄνδρα εὐθυμεῖν καὶ εὐχαριστεῖν καὶ ἀγάλλεσθαι προσπαρῄνει· τὴν γὰρ οἰκείαν θλῖψιν καὶ τὴν τῆς παιδὸς δυσπάθειαν ἐν δευτέρῳ θεμένη, τῷ ἀνδρικῷ αὐτῆς φίλτρῳ τὸν νοῦν πτερωθεῖσα, παραμυθητικοῖς λόγοις θεραπεύειν αὐτοῦ ἐπειρᾶτο τὴν θλῖψιν.

14. Ὅθεν καὶ τὸ τίμιον καὶ ἱερὸν ἑαυτῆς ὑπανοίξασα στόμα καὶ ταῖς χερσὶν αὐτοῦ τῆς χειρὸς λαβομένη, παραμυθητικοῖς ῥήμασι τοιούτοις πρὸς αὐτὸν ἀνεφώνει· «Μὴ ἀθυμήσωμεν, ὦ τίμιε ἄνερ αὐθέντα καὶ βασιλεῦ, μηδὲ τὴν εὐεργεσίαν ταύτην εἰς θλίψεως ἀφορμὴν λογισώμεθα καὶ μηδὲν ἀγεννὲς ἢ διανοηθῆναι ἢ πρᾶξαι ἢ φθέγξασθαι· γενώμεθα ὑπήκοοι τῷ πατρὶ μέχρι θανάτου· οὐκ ἄλλος ὁ ἡμῖν ὀργιζόμενος, πατήρ ἐστι τῇ φύσει, εἰ καὶ δεσπότης κατὰ πρόνοιαν

---

1. ῥανὶς (cod. ῥαννὶς) — πέτραν Choeril. fr. 10 Kinkel; vgl. Apost. 15, 19 und Vitelli zu Philopon. Phys. p. 826, 14 4. κατακλείῃ 9. μύ 11. κάϊν 12. κινήσῃ Vitelli: νικήσῃ 14. ὀργὴν: στοργὴν ὑπήκοος (ὑπ. μέχρι θανάτου hier und Z. 30 aus Philipp. 2,8) 18. τῷ προσώπῳ 19. σιγᾶν 20. τῷ (nach 2,31): τὸν 21. ἐκεῖναι Vitelli: αἱ κεῖναι 26. ἑαυτῆς: ταύτης 27. πρὸς αὐτὴν 29. λογησώμεθα ἀγενὲς (aber 9,22 ἀγεννὲς) 30. γενόμεθα Vor γενώμεθα scheint (vgl. 12,18) γένοιτο ausgefallen zu sein 31. ἡμῖν (nach 12,9 und 15,3): ἡμᾶς

πέλει. οὐκ εἰς τέλος δὲ ὀργισθήσεται (οἶδα), οὐ συγκλείσει τὰ σπλάγχνα, εἰ καὶ πρὸς μικρὸν παρωξύνθη. οὐκ ἐπιδύνει ὁ ἥλιος ἐπὶ τῇ αὐτοῦ ἐκχυθείσῃ εἰς ἡμᾶς κακίᾳ. τὸν θεὸν εἰς βοήθειαν ἐκζητήσωμεν, τὴν αὐτοῦ μητέρα καὶ θεοτόκον εἰς πρεσβείαν ὑπὲρ ἡμῶν προβαλώμεθα, τοὺς ἁγίους ἅπαντας συνικέτας ἡμῶν γενέσθαι παρακαλέσωμεν· ἐμβλέψωμεν εἰς ἀρχαίας γενεὰς καὶ ἴδωμεν, τίς ἐπίστευσε τῷ θεῷ καὶ κατῃσχύνθη ἢ τίς ἐνέμεινε τῷ φόβῳ αὐτοῦ καὶ ὑπερεῖδεν αὐτόν· μικροὶ οἱ πειρασμοί, ἀλλὰ μεγάλοι οἱ οἰκτιρμοὶ τοῦ θεοῦ ἡμῶν. ὀδυνηρὰ καὶ ἐπονείδιστος ἡ εἱρκτή, ἀλλ' ἡ κρίσις τοῦ θεοῦ καὶ ἡ ἐπισκοπὴ ἀσφαλής. ζητήσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει τῶν πεπραγμένων, καὶ αὐτὸς τὴν ὀδύνην τῶν ἀλγεινῶν διαλύσει· δῶμεν δόξαν τῷ κράτει αὐτοῦ εὐχαρίστως, καὶ αὐτὸς ἡμᾶς ἀντιδοξάσει ἐνδόξως· εἰ γὰρ καὶ πειρασθῆναι ἡμᾶς πρὸς μικρὸν συνεχώρησε, τάχα παιδεύων ἡμᾶς τοῦ γενέσθαι αὐτοῦ μαθητάς, ἵνα διὰ τῶν ἔργων τὰς θλίψεις γευσάμενοι τὴν συμπάθειαν δῶμεν τοῖς πάσχουσιν. οὐκ οἶδας, ὅτι βασιλεὺς ἀπὸ μήτρας ἐχρίσθης; οὐκ οἶδας, ὅτι διαδήματι βασιλικῷ ἐκοσμήθης; ἔγνως, ὅτι πορφυρίδι καὶ τρυφῇ καὶ κολακείᾳ ἐκ βρέφους συνανεστράφης καὶ οὐδὲν δυσχερὲς ἔστι ἐν τῷ βίῳ. θλίψιν οὐκ ἔγνως, πενίαν οὐκ οἶδας, θυμὸν δικαστῶν οὐχ ὑπέστης, δεσπότου ἀγανάκτησιν οὐ κατεῖδες, πένητος διαγωγὴν | οὐ f. 40 γινώσκεις, ἐνδείας φύσιν οὐκ οἶδας, δεσμωτηρίων πύλας οὐκ ᾔσθου, μαστίγων μωλώπων οὐκ ἐπειράθης, καὶ δυσχερὴς ἡ μικρὰ αὕτη καταφαίνεταί σοι θλίψις. ἀλλὰ μὴ ὀλιγώρει παιδείας κυρίου μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος· ὃν γὰρ ἀγαπᾷ κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱόν, ὃν παραδέχεται. μὴ οὕτως καταβαπτίζου τῇ θλίψει. οὐδὲν ἀγεννὲς εἰς ἡμᾶς ὁ πατὴρ διεπράξατο, οὐδὲν ἄνομον εἰς ἡμᾶς ἐνεδείξατο· φιλῶν τάχα παιδεύει· ὁ γὰρ ἀγαπῶν τὸν υἱὸν αὐτοῦ ἐπιμελῶς παιδεύει καὶ συνεχεῖς μάστιγας ἐπ' αὐτῷ ἐπιφέρει, ἵνα ἐπ' ἐσχάτων ἐπ' αὐτὸν εὐφρανθῇ. τούτου δὴ χάριν, ὦ τίμιε ἄνερ αὐθέντα καὶ βασιλεῦ, εἰς ἡμᾶς ὁ πατὴρ οὕτω πως διετέθη. τάχα δὲ καὶ τῆς οἰκείας βασιλείας κληρονόμους ἡμᾶς καταλεῖψαι βουλόμενος προγυμνάζει τὴν θλίψιν· συγχωρεῖ δὲ ἡμᾶς ὁ θεὸς τοῦτο παθεῖν, ὡς προγινώσκων τὰ μέλλοντα, ἵνα ἐν καιρῷ τῆς ἡμῶν ἑτέρας εὐδοξίας, τὴν θλίψιν τῆς ἀδοξίας εἰς μνήμην κατέχοντες, τοῖς ὑπηκόοις εὐμενῶς ἐν συμπαθείᾳ χρησώμεθα καὶ γνῶμεν διὰ τῆς πείρας, ὅτι ὀργὴ βασιλέως ὡς ὁρμὴ λέοντος, καὶ πράως καὶ ἡσύχως καὶ δικαίως τὰ σκῆπτρα τῆς

---

2. παροξύνθη 4. συνοικέτας 5. ἐμβλέψωμεν — ὑπερεῖδεν αὐτόν **Sirac. 2,10** ἴδωμεν **korrig. aus** εἴδωμεν 7. οἱ οἰκτιρμοί **Ps. 118, 156** 8. ζητήσατε — ἐν ἐξομολογήσει **Ps. 104,4 und 94,2** 12. παιδεύων, **ergänze dazu aus dem Sinne: «so thut er dies»** 14. ἐχρήσθης 15. τρυφή 17. καθεῖδες 18. ᾔσθου **korrig. aus** ἴσθου 20. μὴ ὀλιγώρει—παραδέχεται **Ebr. 12,5.6** ἐκκλύου ἐλεγχόμενος: ἐκχεόμενος 23. ἀγαπῶν — παιδεύει **Prov. 13, 24** 24. μαστίγας (μάστιγας—εὐφρανθῇ **Sirac. 30,1)** 25. βασιλεὺ 26. πῶς 30. ὀργή—λέοντος **Prov. 19,12**

ἀρχῆς διιθύνωμεν». ταῦτα καὶ πλεῖστα τούτων ἡ ἁγία Θεοφανὼ σοφῶς ἀεὶ τῷ τιμίῳ ἀνδρὶ καὶ βασιλεῖ παραινοῦσα ὡς νέα Εἰσδανδοὺλ[14]) τὴν θλίψιν τοῦ ἰδίου ἀνδρὸς ἐθεράπευεν. Καὶ προθυμοτέρως αὐτὸν εἰς εὐχὰς διεγείρουσα, νυκτὸς καὶ ἡμέρας τῷ θεῷ ἐν δάκρυσιν εὐχαριστεῖν καὶ προσεύχεσθαι παρεσκεύασε· «Θέλημα τῶν φοβουμένων αὐτὸν ποιῶν κύριος καὶ τῆς δεήσεως αὐτῶν ὑπακούων καὶ σῴζων αὐτούς, ὁ ἐγγὺς πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ πέλων καὶ ἀεὶ προφθάνων τοὺς ἐν φόβῳ καὶ ἐξομολογήσει αὐτὸν ἐκζητοῦντας, οὐχ ὑπερεῖδεν αὐτῶν τὰς αἰτήσεις οὐδὲ ἐμάκρυνε τὸ ἔλεος αὐτοῦ ἐξ αὐτῶν, ἀλλ' ἐτάχυνε τοὺς οἰκτιρμοὺς αὐτοῦ ἐπ' αὐτούς».

15. Ἐν μιᾷ δὲ νυκτὶ καθευδόντων αὐτῶν ἀπὸ τῆς ἱερᾶς αὐτῶν ἑσπερινῆς δοξολογίας, ἐπέστη αὐτοῖς κατ' ὄναρ νεανίας τις, στρατιωτικὴν στολὴν ἠμφιεσ-
f. 40 v. μένος, ἐν μὲν τῇ δεξιᾷ χειρὶ δόρυ κατέχων, τῇ δὲ εὐωνύμῳ ἀσπίδα. | καὶ τοῦτον οἱ γεννάδες ἰδόντες, φόβῳ καὶ δέει περισχεθέντες ἔδοξαν, ὅτι ἐκ τοῦ βασιλέως ἐπέμφθη πρὸς ἀναίρεσιν τούτων· τρόμῳ δὲ πολλῷ πρὸς τὴν γῆν πεπτωκότες αὐτὸν προσκυνεῖν ἐπεχείρουν καὶ τοῖς ποσὶν αὐτοῦ προσδραμόντες ἔδοξαν αὐτὸν ἱκετεύειν μὴ ἄωρον αὐτοῖς τὸν θάνατον ἐπενεγκεῖν. ὁ δὲ ὁραθεὶς νεανίας χαριέντως τούτους προφθάσας καὶ τὴν προσκύνησιν διὰ τοῦ λόγου κωλύσας, ἐπιεικῶς προσμειδιῶν πρὸς αὐτοὺς ἔφη· «Μὴ θροεῖσθε, φίλοι· εἰρηνικός εἰμι καὶ οὐκ ἐκ τῶν ἐναντίων. μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία μηδὲ διαλογισμοὶ ἀναβαίνοντες ἐκ τῶν καρδιῶν ὑμῶν καὶ ὑμᾶς ἐκταράττωσιν· οὐ γὰρ ἐξ ἐμαυτοῦ ἧκον ἐνταῦθα, ἀλλ' ὑμεῖς ἐκ Θεσσαλονίκης[15]) ἐλθεῖν ἐποιήσατε· ὁ γὰρ ἀποστείλας με κύριος πρὸς ὑμᾶς αὐτὸς καὶ τῆς δεήσεως ὑμῶν ὑπακούσας ἐκεῖθεν πρὸς ὑμᾶς ἐξαπέστειλεν. θαρσεῖτε λοιπὸν καὶ ἀγάλλεσθε· οἱ ἐχθροὶ ὑμῶν συνεποδίσθησαν καὶ ἔπεσον, ὑμεῖς δὲ ἀνέστητε καὶ ἀνωρθώθητε· ἡ γὰρ βοήθεια ὑμῶν ἐν ὀνόματι κυρίου σωτῆρος ἡμῶν ἐγένετο· τῆς γὰρ εὐχῆς ὑμῶν ἐπακούσας ὁ κύριος τῷ πατρὶ καὶ δεσπότῃ τὰ περὶ ὑμῶν ἀπεκάλυψε καὶ τὴν ματαίαν ἀκοήν, ἣν ἐκ τοῦ ἀλαζόνος ἐδέξατο, εἰς οὐδὲν ἐλογίσατο. καὶ ἰδοὺ πάλιν δοξάσει ὑμᾶς τῇ δόξῃ, ᾗ ἐγεννήθητε, καὶ κληρονόμους τῆς αὐτοῦ βασιλείας ὑμᾶς καταλείψας πρὸς κύριον ἐκδημήσει. χαίρετε ἐν κυρίῳ, πάντοτε χαίρετε, τὸ ὑπήκοον ὑμῶν εὐμενῶς καὶ δικαίως καὶ σοφῶς διιθύνοντες». καὶ ταῦτα εἰπὼν ἀφανὴς ἐκ τούτων ἐγένετο. διυπνισθέντες δὲ καὶ ἔμφοβοι γενόμενοι ἐδόκουν βλέπειν αὐτὸν τῇ ἀληθείᾳ αὐτοῖς παρ-

---

1. ταῦτα Vitelli: αὖτα (am Anfang der Zeile) 2. εἰσδανδοὺλ (das zweite δ auf einer Rasur) 3. προθυμωτέρως 4. τῷ θεῷ (nach 13,13; 18,11 und 20,20): τὸν θεὸν θέλημα — σῴζων αὐτούς Ps. 144, 19 6. ἐγγὺς — ἐπικαλουμένοις αὐτόν Ps. 144, 18 9. ἐμάκρυνε οἰκτιρμούς Ps. 39, 12 οἰκτισμοὺς 11. νεάνις 16. ὑπενεγκεῖν 17. τούτους (nach 10,7): τούτοις 18. προσμηδειῶν θροεῖσθαι 20. ἐκταράττουσιν 23. ἐχθοὶ συνεποδίσθησαν — ἀνωρθώθητε Ps. 19,9 24. ἀνορθώθητε ἡ βοήθεια — κυρίου Ps. 123,9 29. χαίρετε I Thessal. 5,16 ἐπήκοον

ιστάμενον· καὶ μικρὸν πάλιν εἰς ἑαυτοὺς ἐπανελθόντες τὰ τῆς ὀπτασίας διηγοῦντο ἀλλήλοις· καὶ μικρὸν ὥσπερ ἔκ τινος ἀχθοφόρου βάρους κουφισθέντες ἐν γαλήνῃ τὰς ψυχὰς αὐτῶν ἐλογίζοντο καθιστάναι. χαρᾶς δὲ καὶ θυμηδίας πνευματικῆς ἐμπλησθέντες δόξαν καὶ αἶνον καὶ εὐχαριστίαν καὶ προσκύνησιν τῷ θεῷ μετὰ δακρύων ἀνέπεμψαν.

16. Ὀλίγου δὲ χρόνου παρῳχηκότος, ὁ ἄθεος Θεόδωρος, ὁ αὐτῶν διάβολος | f. 41 καταστάς, ὁ νέος Ἀμὰν καὶ Ἰαννῆς καὶ Ἰαμβρῆς διὰ τῶν ἔργων ἀναφανείς, προσῆλθε τῷ μεγάλῳ καὶ χρηστῷ βασιλεῖ Βασιλείῳ, αἰτῶν καὶ λέγων, ἀποσταλῆναι αὐτὸν εἰς τὰ ἴδια ἀψόμενον τῶν οἰκείων πραγμάτων καὶ τῆς πατρίδος. βλέπων γὰρ τὴν νόσον τοῦ ἄνακτος Βασιλείου [16]) ἐπικρατεστέραν τοῦ σώματος γενομένην καὶ δεδιώς, μή πως ὁ συμπλακεὶς παρ' αὐτοῦ δόλος εἰς τοὐμφανὲς διά τινος ὑποθέσεως ἔλθῃ καὶ ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ ὑποστρέψῃ καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο, σπουδῇ τῆς πόλεως ἐξελθεῖν ἐπειρᾶτο. οὗ δὴ ἕνεκα τρόπου τῶν βασιλείων ψήφῳ θεοῦ ἀπελαθείς, πρὸς τὴν οἰκείαν πατρίδα τὴν πορείαν ἐποίει. αὐτοῦ δὲ τῆς τῶν βασιλείων αὐλῆς χάριτι θείᾳ πρὸς μικρὸν ἀποστάντος, Στυλιανὸς [17]) ὁ τηνικαῦτα πρωτοσπαθάριος καὶ ἑταιρειάρχης ὑπάρχων, ὁ ἐπίκλην Ζαούτζης, καιροῦ εὐθέτου λαβόμενος ὥραν, ὡς ἅτε καὶ σωματοφύλαξ ὑπάρχων τοῦ βασιλέως, πάντα φόβον καὶ τρόμον ἐκ ψυχῆς ἀπορρίψας καὶ τῷ θεῷ μόνῳ τὴν αὐτοῦ βούλησιν ἀναθείς, τόλμῃ χρησάμενος θείᾳ καὶ πρὸς τὸν εἰωθότα αὐτῷ ἐπιστὰς τόπον, τῇ συνήθει χρησάμενος παραστάσει, θλιβερῷ σχήματι ἑαυτὸν σχηματίσας καὶ τὴν μίαν παρειὰν τῆς ὄψεως αὐτοῦ χειροκρατήσας, τὴν κεφαλὴν δὲ ὅλην πρὸς τὴν γῆν ἀποκλίνας, τοῖς δάκρυσι τὸ πρόσωπον αὐτοῦ καταβρέχων, κεχηνὼς πρὸς τὴν γῆν ἀφεώρα καὶ στεναγμοῖς ἀλαλήτοις πρὸς ἑαυτὸν κατοιμώζων ἐγκάρδιον λύπην τὸ δοκεῖν ἐπεδείκνυε.

17. Τοῦ δὲ πιστοῦ βασιλέως ἐκ τοῦ λαμπροῦ κοιτῶνος αὐτοῦ ἐξελθόντος καὶ τοῦτον ἐν τοιούτῳ σχήματι ἑωρακότος καὶ τὴν αἰτίαν τοῦ σχήματος μαθεῖν βουληθέντος,, εἰπεῖν πρὸς αὐτὸν ἐπιεικῶς τοιάδε· «Τί σοί ἐστιν, Αἰθίοψ [18]), ὅτι πενθῶν καὶ σκυθρωπάζων εἰς τὸ ἐμὸν ταμεῖον εἰσῆλθες καὶ ἐν τοιούτῳ σχήματι ἀπρεπεῖ παραστῆναί μοι ἥκες; τίς δὲ καὶ ὁ τρόπος τῶν οἰμωγῶν καὶ δακρύων, ὧν ἐκ βάθους καρδίας ἐκ τῶν ὀφθαλμῶν σου ἐκφέρεις; μή τί γε δυσχερὲς πρᾶγμα τῇ πολιτείᾳ συνέβη ἢ ἅλωσις πόλεως ἢ χώρας ἐγένετο;» ὁ δέ φησι πρὸς αὐτόν· | f. 41 v. «Εἴθε, ὦ κράτιστε ἄναξ, ταῦτα συνέβη γενέσθαι καὶ μὴ τὸ φῶς τοῦ κόσμου ὑπὸ τὸν μόδιον τεθὲν ἀπεσβέσω·» ὁ δὲ μὴ συνιεὶς τοῦτο, τὴν ἀπόκρισιν

---

2. ἐχθοφόρου 7. ἀμᾶν καὶ ἰαννὶς καὶ ἰαμβρὶς (Esther 3,1 ff.; II Timoth. 3,8) 9. ἀψόμενον: ὀψόμενον 11. δεδιὸς (ebenso 12,31) συμπλακῆς 12. ὁ πόνος— εἰργάσατο Ps. 7, 17. 16 (aber ἐπιστρέψει) 15. τῆς: τοῦ 17. ἐπίκλϊν ὡσάτε 20. συνήθη 23. κεχηνῶς ἀπεώρα 24. κατοιμώζων: καὶ θυμώζων 27. ἐν τοιοῦτο 30. με (aber vgl. 2,9) 32. ἄλωσις 34. ὑπὸ τὸν μόδιον (ebenso 12,26) Matth. 5, 15 An der 1. Stelle hat die Hs τὸ μ.

ἐπιμελῶς αὐτὸν ἐρωτᾶν ἐπεχείρει· «Φράσον, τίς ὁ λόγος καὶ τίνος χάριν ταῦτά μοι λέγεις καὶ πράττεις;» ὁ δὲ πάλιν πρὸς αὐτὸν ἔφη· «Τὸ φῶς ἐκ τῶν ὀφθαλμῶν ἐπήρθη καὶ τὸν ἥλιον βλέπω πρὸς δυσμὰς ἀπιόντα καὶ στένω, μή πως ἀμφοτέρων ἀφανισθέντων τελείως πηρωθῶ μου τὰς ὄψεις». καὶ ὁ βασιλεὺς πρὸς αὐτόν· «Δι' αἰνιγμάτων πειρᾶσαί με δοκιμάζειν καὶ τὸ σαφὲς τῶν λέξεων οὐ δηλοῖς με;» ὁ δὲ πρὸς αὐτόν· «Καὶ ποίᾳ τόλμῃ χρησάμενος τὰ ἐκ πολλῶν λαλούμενα καὶ θρυλλούμενα σαφῶς σοι ἐξείπω; δέδοικά σου τὸν φόβον, τὴν ἀπειλήν σου πτοοῦμαι καὶ τὸν θυμόν σου αἰδοῦμαι· ἀλλὰ τὸν θυμόν σου πραότητι μίξας, τὴν εὐμενῆ ἀκοήν σου τοῖς ἐμοῖς χείλεσι μὴ ὀργισθῆναι ποιήσῃς». ὁ δέ φησι· «Λέξον ἀφόβως, ἃ βούλει, καὶ φράσον ἀπεριέργως τὴν δήλωσιν τῶν σῶν νοημάτων».

18. Ὁ δὲ μέγα στενάξας καὶ δάκρυσιν ἀσχέτοις τοὺς ὀφθαλμοὺς ἐμπλησθείς, πρὸς τὸν ἄνακτα Βασίλειον ἔφη· «Ἤκουσταί σοι, δέσποτα, τὰ ἐκ τῆς συγκλήτου ἁπάσης καὶ τῆς πολιτείας λεγόμενα ῥήματα;» ὁ δέ φησι· «Ποῖα;» αὐτὸς δὲ πάλιν· «Ἅπερ κατὰ σοῦ φάσκοντες σκώπτουσί σου τὸ κράτος.» ὁ δὲ συσχεθεὶς ἀγωνίᾳ καὶ ὄψει ἐρυθριάσας, λαβὼν αὐτοῦ τῆς χειρὸς πρὸς τὸ ἐσώτερον ταμιεῖον κατ' ἰδίαν εἰσέδυ· καὶ τοῦτον ἐπιμελῶς ἐξετάζων ἐδόκει τινὰ στάσιν καὶ ἀνταρσίαν δι' αὐτοῦ κινηθῆναι· καὶ γάρ φησι πρὸς αὐτόν· «Μή τι νεωτερικὸν κατ' ἐμοῦ ἐστρατεύθη;» ὁ δέ φησι· «Μὴ γένοιτο, δέσποτα, τοῦτο ἢ γενέσθαι ἢ βουληθῆναι· ἀλλὰ μᾶλλον σχεδὸν πάντες τὴν σὴν ἀποκλαίονται ἀπουσίαν καὶ θλῖψις αὐτοὺς οὐχ ἡ τυχοῦσα πιέζει, ὅτι αὐτὸς μὲν νόσῳ περιπεσὼν καὶ τῷ γήρᾳ χάριτι θείᾳ προβαίνων τὸν ἐκ τῶν σῶν τιμίων λαγόνων φυέντα βλαστόν, ματαίας φωνῆς ἐπακούσας, πρὸ τοῦ ἐκσπασθῆναι ξηρὸν ἀπειργάσω καὶ ἀποκήρυκτον αὐτὸν τῆς βασιλείας ποιήσας ἐν εἱρκτῇ ἐπὶ ἀφώνῳ κατέχεις· καὶ πᾶσα ἡ σύγκλητος ἅμα τῇ πόλει καταβοᾷ σου τοῦ κράτους, ὅτι ἀθέῳ ἀνδρὶ καὶ τῆς σῆς
f. 42 σωτηρίας ἐχθρῷ προσπεισθεὶς τὸ φῶς | τοῦ κόσμου τὸ ἐκ θεοῦ τοῖς πᾶσι δοθὲν ὑπὸ τὸν μόδιον ἀποκρύβεις». ταῦτα οὖν ἀκούσας ὁ βασιλεὺς καὶ σύνδακρυς γενόμενος καὶ μικρὸν πρὸς ἑαυτὸν συσχεθεὶς ἔφη· «Μή τοί γε καὶ αὐτὸς τῆς ἐκείνου συμμορίας βουλευτὴς κατεστάθης;» ὁ δὲ πρὸς αὐτόν· «Εἴθε πάντες οἱ κατὰ σοῦ βουλευόμενοι ὡς αὐτὸς κἀγὼ γεγόνασι.» καί φησι· «Καὶ ποίῳ λόγῳ ταῦτα ὁ ἀββᾶς Θεόδωρος πληροφορηθεὶς ἐμοὶ προκατήγγειλε;» ὁ δέ φησι πρὸς αὐτόν· «Ὅτι ταῦτα πάντα ἐκεῖνος κατὰ σοῦ ἐμελέτησε δρᾶσαι καὶ δεδιὼς τὴν ἐκ τοῦ υἱοῦ σου γενησομένην ἐκδίκησιν, πρῶτον τοῦτον ἐκσπάσαι διενοήθη· τὴν γὰρ αὐτοῦ ἔνεδραν καὶ κρυπτὴν ἐργασίαν ὁ υἱός σου προδηλωθείς, ἐκεῖνον ἐκ τῆς τοιαύτης ἀναστεῖλαι μανίας σπεύδων καὶ ἐν κρυφῇ αὐτὸν διελέγξας, — κατ'

---

3. βλέπω (β über radiertem π) 4. πυρωθῶ 5. πειρᾶσαι (αι auf e. Rasur) 8. τὴν εὐμενεῖ 9. λέξων 10. φράσων 12. ἤκουστέ ποι 13. ποία 19. viell. βουλευθῆναι? 20. τὸ γῆρα χάρις θεία (vgl. 11,15) προβαῖνον 22. ἀπηργάσω 26. ἀποκρύβης 28. συμμορίας (ο korrig. in ω) 32. γενησαμένην ἐκσπᾶσαι 34. κρυφεῖ (ebenso 16,6 und 24,1)

αὐτοῦ τὴν κατηγορίαν συνῆξε. καὶ εἰ ἀνεξικάκως τὰ περὶ αὐτοῦ ἐκζητήσεις, εὕροις ἂν τὴν ἀλήθειαν οὕτως προσαχθεῖσαν καὶ τῆς ἐκείνου προπετείας οὐ μικρῶς καταμέμψῃ.»

19. Τῆς δὲ ἐτησίου μνήμης τοῦ θεσπεσίου Ἡλιοῦ[19]) τοῦ προφήτου καταλαβούσης, ὁ βασιλεὺς τοῖς λόγοις τοῦ ἀνδρὸς ἐν τῇ καρδίᾳ αὐτοῦ θέμενος τὸν υἱὸν καὶ βασιλέα Λέοντα, σὺν αὐτῷ προελθεῖν ἐβουλεύετο· διενοεῖτο γὰρ ἐν ἑαυτῷ λέγων ὅτι· «Ἐὰν πάλιν χωρὶς τῆς ἐκείνου παρουσίας προέλθω, ὁ λαὸς κατ' ἐμαυτοῦ οὐ μικρὸν ἀνακύψει». τῇ δὲ ἑσπέρᾳ, ἐν ᾗ εἰώθει τὸν ναὸν τοῦ προφήτου διὰ χρυσοπάστων πέπλων κατακοσμεῖν, προσκαλεσάμενος τὸν προρρηθέντα Στυλιανόν, δι' αὐτοῦ τὴν συμπάθειαν καὶ συγχώρησιν τῶν οὐχ ἡμαρτημένων τῷ υἱῷ ἀποστέλλει· ἅμα δὲ καὶ βασιλικὰς δίδωσι στολὰς αὐτῷ προσκομίσαι <καὶ> τὴν εἰς αὔριον αὐτῷ ἐπαγγεῖλασθαι θεωρίαν. οὗ δὴ λόγου τοῖς πᾶσιν ἐξακουσθέντος καὶ φήμης οὐ μικρᾶς γεναμένης, ἡ πᾶσα πόλις τῷ θεῷ ὁλονύκτως ηὐχαρίστει. πρωίας δὲ γενομένης, προσκαλεσάμενος αὐτὸν ὁ πατὴρ τὸ τῆς βασιλείας αὐτῷ δίδωσι στέφος· καὶ κείρασθαι αὐτοῦ τὴν κόμην κελεύσας, συμπαρεδρεύειν αὐτῷ ὡς ἀεὶ διατάττει. ὃ δὲ συνέβη γενέσθαι ἐν αὐτῇ τῇ ἡμέρᾳ, ἐν ᾗ ὁ φωστὴρ τῆς βασιλείας Λέων τὸ ἴδιον ἀπελάμβανε φάος, οὐ δίκαιον ἡμᾶς σιωπῇ παραπέμψαι. τῆς γὰρ φήμης εἰς τὰ ὦτα τοῦ λαοῦ ἀκουσθείσης καὶ σχεδὸν | πά- f. 42 v.
σης τῆς ὑφηλίου πρὸς τὸν ναὸν τῶν Ἀσωμάτων συναγερθείσης καὶ τῆς συνήθους προελεύσεως ἐκ τῶν ἄνω πρὸς τὸν μέγαν ναὸν κατιούσης, ἦν ἰδεῖν πάντας ὡς ἐν μιᾷ κεφαλῇ κεχηνότας καὶ τοὺς ἑαυτῶν ὑποκλίναντας αὐχένας καὶ τὰ ὄμματα πρὸς τὴν κάθοδον πηγνυμένους καὶ τὴν ἄφιξιν τοῦ νεαλοῦς καὶ νικητοῦ βασιλέως ὡς ἄλλου ἀνίσχοντος ἡλίου ἀπεκδεχομένους· τοῦ γὰρ πατρὸς καὶ βασιλέως τὴν προπομπὴν ποιουμένου, ὡς δίκην ἀστέρων ἐκλάμπων Λέων ὁ ἄναξ ἑπόμενος τῷ ἰδίῳ πατρὶ καὶ βασιλεῖ. ἡνίκα δὲ ἡ αὐτοῦ παρουσία πρὸς τὸν λαὸν ἀνεφάνη, ὁ περιεστὼς ὄχλος ὡς ἐκ συνθήματος ἑνὸς καὶ μιᾶς φωνῆς ἀνακράξας τὴν «Δόξα σοί, κύριε» φωνὴν ἐξεφώνησεν· ἐξ ἧς φωνῆς ὁ βασιλεὺς καὶ πατὴρ μικρὸν δειλιάσας εἰς τὰ βασίλεια πάλιν ἐπανελθεῖν ἐπεχείρει[20]), εἰς ἑαυτὸν δὲ πάλιν ἐπανελθὼν καὶ τὴν εὐγνώμονα πίστιν τοῦ λαοῦ θαυμάσας πρὸς ἔπαινον τῶν ὑπηκόων ἐτράπη. ἐπιστραφεὶς δὲ ἅμα πάλιν μετὰ τοῦ υἱοῦ καὶ βασιλέως, τὴν χεῖρα μετὰ χεῖρας λαβών, εἰς τὰ ἅγια τῶν ἁγίων τοῦ ναοῦ χαίρων εἰσέδυ· καὶ τῆς ἱερᾶς λειτουργίας ἐκτελεσθείσης, πρὸς τὰ βασίλεια ἀνελθόντες εἰς δεξίωσιν τοὺς μεγιστᾶνας προσεκαλοῦντο· καὶ πολλῆς εὐωχίας καὶ ἀγαλλιάσεως

---

1. συνῆξαι 2. viell. προαχθεῖσαν (vorgeführt)? 3. κατὰ μέμψει (über ει ein η) 6. διενοείτω 14. προσκαλεσάμενον 15. κήρασθαι συμπαρεδρεύειν (das erste ε aus α verbessert) 16. ὡς ἀεὶ d. h. wie immer (vorher); viell. aber εἰς ἀεί? 19. τῆς ὑφ' ἡλίου συναγυρθείσης 20. πρὸν τὸν πάντας ὡς ἐν μιᾷ κεφαλῇ Vitelli: πόας ὡς ἐν μιᾷ καὶ φαλῇ 22. τοῦ νεάλου καὶ νίκη τοῦ 24. hinter βασιλέως irrtümlich wiederholt ὡς ἄλλου ἀνίσχοντος ἡλίου ἀπεκδεχομένους, aber darauf getilgt 33. μεγιστάνας εὐωχείας

τελεσθείσης, ἡ φιλόχριστος δυὰς ὁμοτίμως καὶ ὁμοδόξως ὑπὸ πάντων ἀνευφημεῖτο.

20. Ὀλίγου δὲ χρόνου παρῳχηκότος, ὁ μέγας καὶ πιστότατος βασιλεὺς Βασίλειος νόσῳ καὶ γήρᾳ καμφθείς, τῇ φυσικῇ κατηπείγετο διαλύσει. γνοὺς δὲ διὰ τῆς πείρας τὴν ἐγγίζουσαν αὐτῷ πρὸς κύριον τῆς ψυχῆς αὐτοῦ ἐκδημίαν, προσκαλεῖται τοὺς αὐτοῦ τιμίους τρεῖς παῖδας, Λέοντα καὶ Ἀλέξανδρον τοὺς σκηπτούχους καὶ Στέφανον[21]) τὸν μετ' ὀλίγον τῇ ἀρχιερατικῇ διαπρέψαντα δόξῃ, καὶ αὐτοὺς δι' ὁσίων καὶ εὐσεβῶν ὑποστηρίξας λογίων <Λέοντα> αὐτοκράτορα καὶ κυβερνήτην τῆς βασιλείας χειρίσας, συγκληρονόμον δὲ καὶ συμπράκτορα τὸν αὐτοῦ συνομαίμονα Ἀλέξανδρον[22]) καθιστάνει· προεξάρχειν δὲ καὶ ὑπερέχειν τὰ σκῆπτρα τῆς βασιλείας τὸν ἄνακτα Λέοντα στερεοῖ. συνῴκει δὲ f. 43 αὐτῷ καὶ ἡ ἁγία Θεοφανώ, | περὶ ἧς ἡμῶν ὁ λόγος προϊὼν εἰς μακρὰν ἐξήνεκται ἱστορίαν· ἀλλὰ τοῦ κόρου τὸν λόγον καταλείποντος, ἐπ' αὐτὴν ἤδη τὴν διήγησιν τρέψομαι.

21. Εἴχετο ἡ βασιλικὴ τιμία ξυνωρὶς τῆς πατρικῆς βασιλείας, συνήπτετο αὐτοῖς καὶ Θεοφανὼ ἡ αὐγούστα· ἐσχόλαζε δὲ ταῖς θείαις μελέταις ὁ αὐτοκράτωρ, ὁ νέος δὲ Ἀλέξανδρος τοῖς μαθήμασιν ἠσχολεῖτο·[23]) ὁ Στυλιανὸς δὲ μετ' ὀλίγον βασιλειοπάτωρ ἀναγορεύεται[24]) γνώμῃ καὶ προστάξει τοῦ αὐτοκράτορος Λέοντος. τὰς δημοσίας οὖν τῶν πραγμάτων ἐξετέλει φροντίδας καὶ ἡ ῥωμαϊκὴ πολιτεία δικαίως καὶ ἐννόμως μετ' εὐσεβείας ἐκυβερνᾶτο. ἡ δὲ ἁγία καὶ ὄντως θεῷ ἐρασμία Θεοφανὼ ἡ αὐγούστα τὰ βασίλεια περινοστοῦσα τῆς ψυχῆς σωτηρίας ἐπεμελεῖτο, ὡς χοῦν καὶ κόνιν καταπατοῦσα πάντα τὰ τοῦ βίου τερπνά· νυκτὸς καὶ ἡμέρας ψαλτρίαις ἀμώμοις καὶ εὐχαῖς ἀεννάοις[25]) τὸν θεὸν θεραπεύουσα, οὐκ ἐπαύετο ἐλεημοσύναις αὐτὸν ἐκζητοῦσα· τὰ γὰρ ἄνθη τῆς ἁλουργίδος φοροῦσα καὶ τὴν ἐκτὸς εὐπρέπειαν βασιλικῶς περιβεβλημένη, τοῖς ῥάκεσιν ἔνδον κρυπτῶς κατέτρυχε τὸ σῶμα· καὶ ἀσκητικὴν ἀγωγὴν αἱρουμένη, τῶν πολυτελῶν τραπεζῶν τὰς στοιβάδας ὡς οὐδὲν κατεφρόνει· τὴν γὰρ τρυφὴν τῶν ἐδωδίμων προκειμένην ὁρῶσα, τῇ εὐτελεῖ καὶ αὐτοσχεδίῳ τοῦ ἄρτου καὶ τῶν λαχάνων ἐτρέφετο πανδαισίᾳ. τὰ δὲ ἐν ταῖς χερσὶν αὐτῆς παρεμπίπτοντα χρήματά τε καὶ κτήματα, τὰ τίμια τοῖς βιωτικοῖς φαντάσματα, τοῖς πένησι διεδίδου. τῶν δὲ πέπλων τὰ πολυτίμητα εἴδη τοῖς δεομένοις παρεῖχε, χηρῶν δὲ καὶ ὀρφανῶν τὰς αὐταρκείας ἐπεχορήγει, <τῶν μοναστῶν τὰ εὐτελῆ καταγώγια>

---

1. φιλόχρηστος ἀνευφημείτω 4. κατεπείγετο γνοῦς 9. viell. προχειρίσας? 12. viell. ἐξενήνεκται? 13. καταλείποντος (d. h. indem der Überdruss die weitere Erzählung der nebensächlichen Ereignisse aufgiebt, vgl. Isocr. 195 A): καταλείποντες 16. αὐγοῦστα 20. ἐκυβερνεῖτω 22. ἐπεμελείτω (das zweite ε aus ι verbessert) 23. νυκτὸς γὰρ καὶ Synax. Sirm. 27. στιβάδας 28. ἐδοδίμων τὴν εὐτελῆ 29. αὐτοῖς 32. τῶν μοναστῶν — καταγώγια bietet das Synax. Sirm.

χρήμασι καὶ κτήμασι κατεπλούτει, τῶν οἰκετῶν ὡς ἀδελφῶν προενοεῖτο, οὐ κέκληκέ τινα ἁπλῷ τῷ ὀνόματι πώποτε ἀλλὰ πάντων ἐκυριολόγει τὰς κλήσεις, οὐδέποτε εἰς θυμὸν ἐκινήθη, οὐκ ὠργίσθη ποτὲ οὐ μικρῷ οὐ μεγάλῳ· φθόνος ἢ μῖσος κατὰ τοῦ πέλας οὐδέπω ἐπὶ τὴν θείαν ψυχὴν αὐτῆς ἀνῆλθεν· οὐκ ἐφθέγξατο ὅρκον διὰ τῆς γλώττης, οὐ ψευδῆ ῥήματα διὰ τῶν χειλέων αὐτῆς ἐξῆλθον, οὐκ ἐφθέγξατό ποτε κατά τινος λοιδορίαν, οὐκ ἐπαύσατό ποτε κρυπτῶς πενθεῖν καὶ σκυθρωπάζειν καὶ τὴν στρωμνὴν τοῖς δά|κρυσι καταβρέχειν. f. 43 v.

22. Τῆς γὰρ κλίνης χρυσοϋφάντοις τάπησι κατεστρωμένης, τὸ δοκεῖν ἑσπέρας ἐπ' αὐτὴν ἀναπαύειν τὸ σῶμα τοῖς οἰκείοις ὡρᾶτο· ἡνίκα δὲ ἡ νὺξ τὴν ἀρχὴν ἐποιεῖτο, τῆς κλίνης ἀνισταμένη ψιαθίῳ χορτίνῳ καὶ τριχίνοις ῥάκεσιν ἐν τῷ ἐδάφει κειμένοις τὴν ἀνάπαυσιν ἐποιεῖτο, ὥραν ἐξ ὥρας ἀνισταμένη καὶ τὰς χεῖρας εἰς τὸν ἀέρα διεκπετῶσα καὶ τῷ θεῷ ἀναπέμπουσα τὰς αἰνέσεις καὶ τὴν τῆς ψυχῆς σωτηρίαν ἐπιζητοῦσα. διὸ καὶ ἐκ τῆς ἄγαν σκληραγωγίας ἡ σωματικὴ αὐτὴν περιεστοίχισε νόσος. καὶ ὅσον ὁ ἐκτὸς αὐτῆς διεφθείρετο ἄνθρωπος, τοσοῦτον ὁ ἐντὸς αὐτῆς κατὰ θεὸν ἀνεκαινοῦτο· τὰς γὰρ ἐκ τῶν νόσων τοῦ σώματος ἀλγηδόνας ὥς τινας εὐεργεσίας λογιζομένη, εὐχαριστεῖν καὶ δοξάζειν οὐ διέλειπεν τῷ κυρίῳ· τὸ γὰρ ὡραιότατον αὐτῆς καὶ τίμιον σῶμα κατατρυχόμενον ταῖς ἀσθενείαις ὁρῶσα, οὐδὲν ἀγεννὲς ἢ βλάσφημον προήκατο ῥῆμα· ἀλλὰ μᾶλλον πρὸς προσευχὰς καὶ δεήσεις τὴν ἑαυτῆς στομώσασα γλῶσσαν, οὐ διέλιπε τὸν θεὸν ἱκετεύειν· τῇ γὰρ προτέρᾳ τῆς ἀσκήσεως ἀγωγῇ ἑαυτὴν ἐπιδοῦσα καὶ εἰς ἀφορμὴν ἐγκρατείας τὴν νόσον λαβοῦσα, οὐ διέλειπε διαθρύπτειν τοῖς πεινῶσι τὸν πλοῦτον· τὸ δὲ τίμιον αὐτῆς στόμα, τῇ μελέτῃ τῶν θείων ὕμνων κατειθισμένον, οὐκ ἐπαύετο τὰ τίμια λόγια τοῦ ἱεροψάλτου Δαυὶδ τοῦ προφήτου ἐπᾴδειν· καὶ γὰρ οὐ παρωρᾶτο ἐξ αὐτῆς ἡ ἑπτάκις τῆς ἡμέρας αἴνεσις[26]) τοῦ κυρίου οὐδὲ ὕπνωττεν ἀναπαύσεως ὕπνον ἄνευ δακρύων· τὸ γὰρ βρῶμα αὐτῆς μετὰ σποδοῦ ἤσθιεν καὶ τὸ πόμα αὐτῆς τοῖς δάκρυσι συνεκίρνα. ταῖς δὲ ἀλλοτρίων συμφοραῖς συμπαθοῦσα, δακρυρροοῦσα τὸν θεὸν ὑπὲρ αὐτῶν ἐλιπάρει, καταπονουμένοις χεῖρα ὀρέγουσα βοηθείας καὶ ὀρφανῶν καὶ χηρῶν προϊσταμένη ὡς μήτηρ, τῶν ἐν θλίψει καὶ ἀθυμίᾳ χειμαζομένων ὑπάρχουσα <εὐθυμία καὶ παράκλησις>. τῶν γὰρ ἡδονῶν πατήσασα τὰς νιφάδας, κούφως καὶ καθαρῶς τὸ τοῦ βίου πέλαγος ἐν ἁγνείᾳ διέπλει· καὶ τὴν πρόσκαιρον καὶ φθαρτὴν καὶ ῥέου-

---

3. ὀργίσθη **6.** ἐμφθέγξατο **7.** στρωμνὴν **u. s. w. Ps. 6,7** καταβρέχων **8.** ταπῆσι **9.** ὁρᾶτο **(ebenso 16, 22)** **10.** ἀνισταμένης **11.** κειμένων **14.** αὐτῆ **(Synax. Sirm.** αὐτὴν**)** περιεστοίχησε ὁ ἐκτὸς—ἀνεκαινοῦτο **II Cor. 4,16** **15.** ἀνακαινοῦτο **18.** προήλατο **20.** σκήσεως **(am Anfang der Zeile)** **21.** διέλυπε **22.** πλοῦτον?: ἄρτον **Synax. Sirm.** **24.** παρόρᾶτο **25.** βρῶμα — συνεκίρνα **Ps. 101,10** **26.** μετὰ σπονδοῦ **27.** δακρυροοῦσα **(aber 21,1 richtig)** καταπονουμένοις **Synax. Sirm.:** καταπονουμένους **29.** εὐθυμία καὶ παράκλησις **bietet das Synax. Sirm.** **30.** κούφως — διέπλει, **vgl. Gregor. Naz. or. funebr. in laudem Basil. Magni:** κούφως διέπλει τὴν τοῦ βίου θάλασσαν

σαν δόξαν μισοῦσα, τῶν μονίμων καὶ ἀρρεύστων καὶ ἀθανάτων τὴν λῆξιν ἐπιτυχεῖν ἐπεζήτει, πάντα ⟨τὸν⟩ κόσμον καὶ τὰ ἐν κόσμῳ διὰ Χριστὸν ἀπαρνησαμένη, τὸν χρηστὸν ζυγὸν τοῦ κυρίου λαβοῦσα καὶ τὸν σταυρὸν ἐπ' ὤμων νοη- f. 44 τῶς | ἀραμένη κρυπτῶς τοῖς ἴχνεσι τοῦ Χριστοῦ ἠκολούθει.

23. Διὸ καὶ τῆς ἐφέσεως αὐτῆς εὑραμένη τὸ πέρας, τῶν ἐλπιζομένων αὐτῇ οὐ διήμαρτεν ἀμοιβῶν· ὁ γὰρ βλέπων τὰ ἐν κρυφῇ αὐτῆς ἐκτελούμενα ἔργα, αὐτὸς αὐτὴν φανερῶς δι' αὐτῶν καὶ ἐμφανῶς δοξάζει· καὶ γὰρ ἀψευδὴς ἡ φάσκουσα αὐτοῦ θεία φωνὴ ὅτι· «Οὕτως λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως γνόντες τὰ καλὰ ἔργα ὑμῶν δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς». ὁ γὰρ τίμιος ταύτης καὶ ἔνδοξος θάνατος τὴν τοῦ προφήτου Δαυὶδ ἐβεβαίωσεν ἀγγελίαν· «Τίμιος (γάρ φησιν) ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ»· προέγνω γὰρ αὕτη τὴν ἐκδημίαν τὴν ἐκ τοῦ σώματος καὶ αἰσθομένη τὴν ἐκ τοῦ κόσμου αὐτῆς ἀναχώρησιν, ἀσπάσασθαι αὐτὴν πάντας προετρέψατο καὶ τὸν σοφὸν ἄνακτα πρὸς ἑαυτὴν ἐκζητήσασα, αὐτὸν τὸν τελευταῖον ἀσπασμὸν κατησπάσατο καὶ σὺν δάκρυσι τὰς παρειὰς αὐτοῦ καὶ τὰς χεῖρας φιλοῦσα, τὰ ὑπὲρ τῶν συγγενῶν καὶ φίλων καὶ οἰκετῶν ἐλιπάρει. καὶ τῆς ὥρας αὐτὴν ἤδη κατεπειγούσης, πρὸς ὑμνῳδίας καὶ εὐχὰς ἐξετράπη. καὶ ἔτι τῆς δοξολογίας ἐν τῷ πανσόφῳ στόματι αὐτῆς ⟨οὔσης, τὰς χεῖρας ἐπὶ⟩ τοῖς στέρνοις σταυροειδῶς σχηματίσασα καὶ ὡς ἐν ὑπομειδιάματι τὰς παρειὰς προσδεικνῦσα, τὴν ὁσίαν αὐτῆς ψυχὴν εἰς ὁσίας τοῦ θεοῦ παρέθετο χεῖρας. [27]) καὶ αὖθις ἡ τοῦ προσώπου αὐτῆς ὡραιότης ὡς φῶς ἡλίου καθαρὸν ἐξαστράψασα ἀκτινοβολεῖν τοῖς παρεστῶσιν ὡρᾶτο· τὸ δὲ τῆς μειδιάσεως τῶν παρειῶν αὐτῆς σχῆμα, τὴν ἀγαλλίασιν καὶ ἀνάπαυσιν τῆς ἁγίας ψυχῆς αὐτῆς ὑπεμφαῖνον, μέχρι τῆς ἐν τῷ τάφῳ καταθέσεως αὐτῆς ἀπαράτρεπτον διεφυλάχθη.

24. Τοῦ γὰρ τιμίου σώματος αὐτῆς βασιλικῇ δόξῃ πρὸς τὸν σηκὸν τῶν θείων καὶ ἱερῶν Ἀποστόλων [28]) ὑπὸ τοῦ βασιλέως καὶ τῆς συγκλήτου ἐν ὑμνῳδίαις καὶ ᾄσμασι καὶ λαμπάσι κομιζομένου, ἐγένετό τι ξένον καὶ παράδοξον θαῦμα, τοῖς μὲν πολλοῖς ἀγνοούμενον, τοῖς δὲ τὰ ἐκείνης περισκοποῦσι φανερῶς καὶ ὁραθὲν καὶ λαλούμενον. χειμερίου γὰρ τοῦ καιροῦ ὑπάρχοντος καὶ τῆς ἡμέρας καὶ ὥρας χιονώδους ὑπαρχούσης, ἡνίκα τὸ τίμιον αὐτῆς σῶμα ἐκ τῆς Χαλ- f. 44 v. κῆς πρὸς τὸ ὕπαιθρον ἀνεφάνη, ὁ ἥλιος ὡς ἐν | θερινῇ ὥρᾳ τὰς ἀκτῖνας θερμῶς ὑφαπλώσας, γαληνιᾶν παρεσκεύασε τὴν ἡμέραν· καὶ ὥσπερ ἔκ τινος ἐαρινῆς θάλψεως οἱ συγκομισταὶ προσθαλφθέντες, ἱδρῶσι καὶ ζέσει τὰς παρειὰς κατεβρέχοντο. ἡνίκα δὲ πρὸς τὸν ναὸν τὸν θεῖον εἰσέδυ τὸ πανάγιον ἐκείνης σῶμα καὶ ἐν

---

1. ἀρεύστων 2. τὸν vor κόσμον bietet das Synax. Sirm. κόσμον I Joh. 2,15 3. χρηστὸν ζυγόν Matth. 11,30 σταυρόν Matth. 16,24 4. ἴχνεσι—ἠκολούθει I Petr. 2,21 6. βλέπων—φανερῶς vgl. Matth. 6,4 8. οὕτως λαμψάτω Matth. 5,16 9. γνῶντες πατέρ' ἡμῶν 11. τίμιος Ps. 115,6 17. κατεπηγούσης 19. προσδεικνύσα 23. ἀγαλίασιν 27. λαμπᾶσι 33. ζέσι

τῇ θείᾳ σορῷ τοῦ λάρνακος κατετέθη, πάλιν ἡ ἡμέρα τὴν τοῦ ἰδίου καιροῦ ἀναλαβοῦσα φύσιν, ζοφώδη καὶ ἀφεγγῆ τὸν ἀέρα εἰργάσατο, ὥστε δοκεῖν καὶ λέγειν πάντας, ὅτι καὶ αὐτὴ ἡ ἡμέρα συναλγεῖ πενθοῦσα τῆς τιμίας βασιλίσσης τὴν στέρησιν. μετὰ δὲ τὴν τεσσαρακονθήμερον τῆς καταθέσεως ταύτης ἡμέραν [29]) ἐν παντὶ τῷ κόσμῳ τὰ δι' αὐτῆς ἐξέλαμψαν θαύματα. καθαρθεῖσα γὰρ τῆς ὑλικῆς ἐμπαθείας τὸ ἄλγος, τῷ ποιητῇ καὶ θεῷ ἀμέσως παρέστη καὶ τὴν χορηγίαν τῶν θαυμάτων διὰ τῆς παρουσίας λαβοῦσα, τῶν ἰάσεων τὰς πηγὰς ἀναβλύζει. πολλῶν γὰρ καὶ μεγάλων ἐκ τῆς τιμίας αὐτῆς σοροῦ ἰάσεων τοῖς προσιοῦσι παρεχομένων, ἡ ταύτης εὐεργεσία εἰς πᾶσαν τὴν γῆν ἐξηκούσθη καὶ ὁ φθόγγος τῶν θαυμάτων αὐτῆς εἰς τὰ πέρατα τῆς οἰκουμένης κατεμηνύθη. καὶ πολλοὶ ⟨οἱ⟩ δι' αὐτῆς ἐκ τῶν ἀνιάτων νόσων ἀπαλλαγέντες, οἵτινες καὶ μάρτυρες τῶν ἐκείνης ἐγένοντο ἱερωτάτων θαυμάτων. ἐξ ὧν κἀγὼ ὁ τάλας ἐκ τῆς τιμίας ἐκείνης σοροῦ ἰάσεις ἀντλήσας οὐ δίκαιον ἐθέμην τὰ εἰς ἐμὲ γεγονότα ἐξαίσια θαύματα σιωπῇ κατακρύψαι, ἵνα μὴ ὡς ὁ πονηρὸς ἐκεῖνος δοῦλος ὁ τὸ τάλαντον κρύψας τὴν καταδίκην ὑφέξω· ἃ γὰρ μέλλω λέγειν, ἀψευδῶς εἰρήσεται πάντως· οὐ γὰρ πρὸς χάριν ταῦτα ἔρχομαι λέξων, ἀλλ' εἰς πολλῶν ὠφέλειαν καὶ πίστιν τῶν αὐτὰ προσεχῶς ἀκουόντων.

25. Ἤλγει μὲν γὰρ ὁ ἐμὸς γεννήτωρ τοὺς πόδας καὶ ὠδυνᾶτο σφοδρῶς, τὴν θεραπείαν ἀνίατον ἔχων. ἦν δὲ καὶ καιρὸς τοῦ θέρους, μῆνα ἰούλιον ἔχων, ἐν ᾧ καὶ ἡ μνήμη τοῦ θεσπεσίου προφήτου Ἡλιοῦ ἐκτελεῖται. συνήθεια δὲ ἦν ἀπὸ χρόνων ἐκ τῶν περιφανῶν ἐκκλησιῶν συνάγεσθαι πλεῖστα χρυσοῦφαντα πέπλα, ἐξ ὧν ὁ θεῖος σηκὸς τοῦ προφήτου λαμπρῶς κοσμούμενος ἐδοξοῦτο. συνέβη δὲ καὶ ἐκ τοῦ | περιβλέπτου ναοῦ τῶν τιμίων Ἀποστόλων στολὰς προσλα- f. 45
βέσθαι. ἐπλήρου δὲ τὴν τούτων διακονίαν Μύρων ὁ κανδιδάτος· ὅστις προστάξει τοῦ ἐμοῦ πατρός, ὡς ταχυγράφος αὐτοῦ ὑπάρχων, τὸ προσταττόμενον ἐξετέλει· λαβὼν γὰρ ἐκ τοῦ τότε τοῦ ναοῦ προεστῶτος τὰ τίμια πέπλα σὺν τῷ σεπτῷ μαφορίῳ τῆς ἁγίας Θεοφανὼ βασιλίσσης διὰ τὸ καὶ αὐτὸ χρυσοποίκιλτον εἶναι, πρὸς τὸν ναὸν τοῦ προφήτου Ἡλιοῦ τὰ συλλεχθέντα προπέμπει. τὸ δὲ θεῖον μαφόριον τῆς ἁγίας ὡς διαφανὲς καὶ λεπτότατον πέπλον ὑπὸ τὸ ἴδιον αὐτοῦ χειριδάριον κατακρύψας καὶ τῷ οἰκείῳ ἐπιβὰς ἵππῳ πρὸς τὸν ἀποστείλαντα ἔσπευδεν ἀναστρέψαι. γυνὴ δέ τις, ὑπὸ πονηροῦ πνεύματος ὀχλουμένη καὶ ἐν τοῖς ψιαθοφόροις τῆς παρόδου τῆς Βώνου κελλίοις [30]) τὴν οἴκησιν ἔχουσα, τοῦτον θεασαμένη διὰ τῆς ὁδοῦ παριόντα, αὖθις ἐξαναστᾶσα καταβοᾶν καὶ ὑλακτεῖν ὀπίσω αὐτοῦ ἐπειρᾶτο καὶ λόγοις αἰσχίστοις σκώπτουσα τὴν ἁγίαν τὸ ὄνομα αὐτῆς ἐξεφώνει. ὁ δὲ φόβῳ καὶ δειλίᾳ συσχεθεὶς τοῖς ποσὶ πλήξας τὸν ἵππον καὶ τῷ

---

4. τεσσαρακοντήμερον (ebenso in der vita Euthymii p. 18,1 Boor) 11. καὶ μάρτυρες zweimal geschrieben 14. δοῦλος Matth. 25,25 f. 18. ὀδυνᾶτο 19. viell. ἀνιάτως ἔχων? 26. τὸν ναὸν σὺν τοῦ σεπτοῦ μαφορίου 32. τοῖς παρόδου τῆς βώνου 34. σκόπτουσα

χειριδαρίῳ, ἐν ᾧ τὸ τίμιον μαφόριον τῆς ἁγίας κατεῖχε, τὴν δαιμονιῶσαν γυναῖκα πλήξας ἐπὶ τὴν κάραν, ὑπτίαν αὐτὴν εἰς τὴν ὁδὸν πεσεῖν παρεσκεύασεν. ἡ δὲ μεγάλῃ κράξασα τῇ φωνῇ, ῥαγεῖσα παρευθὺ τῆς ἰάσεως ἔτυχεν. ὁ δὲ τὸ γεγονὸς ἑωρακὼς ἐξαίσιον θαῦμα, φόβῳ καὶ τρόμῳ συσχεθεὶς καὶ ἀγῶνι, πρὸς ἡμᾶς ὠχριῶν παρεγένετο. τὴν αἰτίαν δὲ τοῦ ἀγῶνος ἐρωτηθείς, τὸ συμβὰν αὐτῷ κατὰ τῆς ὁδοῦ διηγήσατο καὶ τὸ τίμιον μαφόριον τῆς ἁγίας ἐκ τοῦ κόλπου ἐξαγαγὼν τὴν ἐξελθοῦσαν δύναμιν ἡμῖν ἀνεκάλυψεν. ὅπερ τίμιον μαφόριον ὁ ἐμὸς πατὴρ ἐκ πίστεως ἀναλαβὼν καὶ τοῖς ἀλγοῦσι ποσὶν ἐπιθεὶς παραυτὰ τῆς ἰάσεως ἔτυχε· τῆς γὰρ ὀδύνης εὐθέως ἀπελαθείσης, καὶ ἡ τοῦ φύματος κατέπεσεν ὄγκωσις. καὶ ῥωσθεὶς ταῖς ἐκείνης πρεσβείαις ἐν ὅλαις τρισὶν ἡμέραις τῆς κλίνης ἐξαναστάς, οἰκείοις ποσὶ περιπατῶν ἀπροσκόπως, τῷ θεῷ καὶ τῇ ἁγίᾳ ἐκ πίστεως ηὐχαρίστει.

26. Ὀλίγου δὲ χρόνου παρῳχηκότος, καὶ ἡ ἐμὴ μήτηρ καὶ δούλη κυρίου f. 45 v. Εἰρήνη | τῇ συνήθει διακονίᾳ τῆς πτωχολουσίας καὶ διατροφῆς τῶν πενήτων ἐν τῷ εἰωθότι λούματι τῶν Ἁρματίου [31]) ποιοῦσα, ἐκ τῆς ἄγαν φιλοπτωχείας καὶ τῆς ἄγαν θεραπείας τῆς εἰς τοὺς πένητας ποιουμένης λειποθυμίᾳ ληφθεῖσα εἰς ἐπιληψίαν κατήχθη καὶ πρηνὴς πεσοῦσα ἄπνους καὶ ἄφωνος ὅλη σχεδὸν καθωρᾶτο. ταύτην δὲ ἐκεῖθεν ἀναλαβόντες οἴκαδε οἱ θεράποντες ἦκον. αὐτῆς δὲ ἐπὶ πολλὰς τὰς ὥρας ἀφώνου καὶ ἀκινήτου μενούσης, ἐδόξαμεν πάντες ταύτην τεθνάναι. ὁ δὲ τίμιος ἡμῶν πατὴρ καὶ δεσπότης ἐκ τῆς ἐνδόξου τάξεως αὐτοῦ μετὰ τῆς συνήθους προελεύσεως αὐτοῦ οἴκαδε ἐπανάγων, ταύτην θεασάμενος καταπλαγεὶς ἐξηπόρει· καὶ μικρὸν εἰς ἑαυτὸν ἐπανελθὼν τὸ συμβὰν ἐπηρώτα· καὶ αὖθις ὑπὸ θεοῦ ἐμπνευσθεὶς πρὸς τὴν τῆς ἁγίας ἐπικούρησιν ἐκινήθη. καὶ καλέσας τὸν λειτουργὸν τῆς αὐτοῦ ἐκκλησίας [32]), ἀπελθεῖν πρὸς τὸν θεῖον ναὸν τῶν ἁγίων Ἀποστόλων κελεύει καὶ τὸ ἐκεῖσε ἀποκείμενον τίμιον δακτυλίδιον τῆς ἁγίας τὸ ἐξ ἰασπίνου λίθου κατασκευασθὲν ἀναλαβέσθαι καὶ μετὰ τῆς προσηκούσης αὐτῷ τιμῆς πρὸς αὐτὸν διακομίσαι. τοῦ δὲ προστάγματος αὐτοῦ δι' ἔργου τελειωθέντος, λαβὼν ἐκεῖνο τὸ ἐκ πίστεως αἰτηθὲν καὶ εἰς τὸ ὕδωρ τῶν ἁγιασμάτων τοῦτο ἐμβάψας τοῖς χείλεσιν αὐτῆς προσαφθῆναι προστάττει. καὶ ἅμα τῆς προσάψεως γεναμένης, τὰ χείλη διυγρανθεῖσα, κινεῖν ἐπεχείρει τὴν γλῶτταν, τὴν ἐξ αὐτοῦ ὡς οἶμαι γλιχομένην τὴν ἴασιν ἐπισπάσασθαι. καὶ οὐ μετὰ πολλὴν ὥραν τὰ ὄμματα ὑπανοίξασα, τὴν χεῖρα προτείνειν πρὸς ὑποδοχὴν τούτου ἐσπούδαζεν. ὁ δὲ λαβὼν τὸ δακτυλίδιον εἰς τὴν δεξιὰν χεῖρα ταύτης ἐμβάλλει. καὶ ἐν ὅλαις ὀκτὼ ἡμέραις τῶν ἐξ αὐτοῦ ἁγιασθέντων ναμάτων πίνουσα καὶ

3. viell. statt ῥαγεῖσα — ῥαίσασα? 4. γεγονὼς 6. αὐτῷ Vitelli: αὐτὸ 16. ποιουμένη, λυποθυμία 17. πρηνὶς καθορᾶτο 19. τεθνᾶναι (ebenso 19,30) 22. ἐπηρῶτα 23. ἐπηκούρησιν 24. ναῶν 26. ἐξύασπίνου 27. αὐτὸ τιμῆς 31. γλιχομένη 32. τοῦτο

ἀπαλειφομένη τὸ σῶμα ὑγιὴς καὶ ἀβλαβὴς κατεστάθη, δόξαν καὶ αἶνον τῷ θεῷ καὶ τῇ ἁγίᾳ προσάγουσα.

27. Μετὰ δὲ τὴν ἐκείνης τελευτὴν καὶ πρὸς κύριον ἐκδημίαν διετοῦς χρόνου παραδραμόντος, ὁ μὲν πατὴρ ἡμῶν, τῶν δημοσίων πραγμάτων ἀπαλλαγεὶς τὰς φροντίδας διὰ τὸ γῆρᾳ αὐτὸν καμφθῆναι καὶ ἐπαλλήλοις νοσήμασι περιπεσεῖν, οἴκαδε παγανεύων ἐκάθητο καὶ | τὴν τοῦ οἴκου φροντίδα τῷ υἱῷ αὐτοῦ καὶ f. 46
ἡμετέρῳ συνομαίμονι Μιχαὴλ τῷ πρωτοσπαθαρίῳ διοικεῖν ἐνετείλατο. τὸ γὰρ ἄοκνον αὐτοῦ καὶ ἐντρεχὲς τῆς ἐπιμελείας γινώσκων, τὴν πᾶσαν αὐτοῦ περιουσίαν εἰς χεῖρας ἐκείνου παρέθετο. καιροῦ δὲ καλοῦντος καὶ χρείας τινὸς μικροῦ πράγματος ἀναγκαίας πραχθῆναι μελλούσης, ὁ πατὴρ τὴν διακονίαν πληρῶσαι τῷ υἱῷ ἐνετείλατο· ὁ δέ τισι φροντίσιν ἑτέραις περιασχοληθείς, τὴν πατρικὴν διάταξιν διά τινος οἰκέτου γενέσθαι προσέταξεν, οὐ τὴν τοῦ πατρὸς καταφρονῶν διάταξιν, ἀλλὰ τὴν εὐτέλειαν τοῦ πράγματος εἰς οὐδὲν λογισάμενος. τῆς δὲ ἐννάτης ὥρας τῆς ἡμέρας ἐκείνης καταλαβούσης, ὁ μὲν ὀκνηρὸς ἐκεῖνος οἰκέτης ἐπιλαθόμενος τῆς προσταχθείσης αὐτῷ διακονίας ἀτελῆ τὴν διάταξιν εἴασεν. ὁ δὲ ταύτην γενέσθαι προστάξας εἰς ζήτησιν τῆς χρείας παρέστη· καὶ τοῦ ἔργου μὴ τελεσθέντος, ὁ πατὴρ ὡς δεσπότης κατὰ τοῦ υἱοῦ ἠγανάκτει καὶ λόγοις τοῦτον ἀντὶ μαστίγων προσπλήξας, δυσφημεῖν καὶ ἀνιᾶσθαι παρασκευάζει. ὁ δὲ τὴν ἀγανάκτησιν τοῦ πατρὸς ἐξ ὀλιγωρίας μὴ φέρων, τὸν πονηρὸν οἰκέτην καὶ ὀκνηρότατον δοῦλον ὡς καταφρονητὴν τῆς αὐτοῦ προστάξεως ἀμύνασθαι ἠβουλήθη. προσκαλεσάμενος γὰρ τοῦτον ὑπὲρ τῆς ἀμελείας ἐξερωτῶν, — αὐτὸς ἡμαρτηκὼς ἀναιδέστερος ἀνεφάνη καὶ ἀπρεπεῖς καὶ ἀτάκτους ἀπολογίας φθεγξάμενος τὸ δοκεῖν τὸν δεσπότην παρελογεῖτο. ὁ δὲ θυμοῦ πλησθεὶς καὶ τῇ χολῇ ὑπερζέσας, τοῦτον λὰξ κατὰ τῶν κενεώνων κινηθεὶς καταπλῆξαι καὶ ἔκ τινος δυστυχοῦς ἀπορίας τοῖς ποσὶ σκελισθείς, ὕπτιος πεσὼν τοῖς κροτάφοις ἐπλήγη καὶ λειποθυμίᾳ ληφθεὶς ὡς παραπλὴξ ἄφωνος καὶ ἀκίνητος παρευθὺ καθωράθη. φωνῆς δὲ καὶ κραυγῆς παρὰ τῶν παρεστώτων οὐ μικρᾶς γεναμένης, ἀκούσας ὁ πατὴρ τὸ συμβὰν τῷ υἱῷ παρ' ἐλπίδα, καίπερ νόσῳ κρατούμενος, ἀναστὰς ἐκ τῆς κλίνης δρομαῖος ἥλατο τρέχων. καὶ τὸν υἱὸν ἐν τῇ τοιαύτῃ θεασάμενος ἀμορφίᾳ, τίλλων τὰς τρίχας καὶ δακρύων αὐτὸν κατεθρήνει· νομίσας δὲ τοῦτον τεθνάναι, τὴν ἐντάφιον αὐτοῦ | ἤρξατο ποιεῖσθαι φροντίδα. f. 46 v.

28. Τῆς φήμης δὲ διαθεούσης τοῖς φίλοις καὶ τῶν συγγενῶν ἁπάντων συνδεδραμηκότων, ἐγένοντο οἰμωγαὶ θρήνων καὶ ὀδυνηραὶ φωναὶ τὴν ἄωρον τοῦ παιδὸς θρυλλοῦσαι ἀκινησίαν. πολλῶν δὲ ἀρίστων ἰατρῶν συνελθόντων καὶ πλείστας διαπείρας μηχανιῶν προβαλλόντων, οὐδεμία ἦν φωνὴ ἢ ἀκρόασις ἢ κίνησις

---

4. πραγμάτων (nach 14,19): φροντίδων (wegen des Accus. vgl. καθαρθεῖσα τὸ ἄλγος 17,5) 5. γῆρα 21. vor τοῦτον noch τοῦ (am Ende einer Zeile) 25. λυποθυμιαληφθεὶς 29. τείλων 34. πλεῖστα 35. φωνή: φωὴ

τοῦ παιδὸς ὡς νεκροῦ προκειμένου. τούτων οὖν ἐν τούτοις ἤδη θλιβερῶς θρυλλουμένων, ἡ τῆς ἡμέρας διῆλθεν ἑσπέρα καὶ ἡ νὺξ ἀρχὴν ἤδη λαβοῦσα τὸ πένθος ἐπηύξει, τοῦ παιδὸς ἀφώνου καὶ ἀκινήτου τοῖς πολλοῖς ὁρωμένου. ἔδοξε δὲ τῷ πατρὶ τοῦτον πρὸς τοὺς περιβόλους τοῦ οἴκαδε εὐκτηρίου αὐτοῦ οἴκου τῆς δεσποίνης προθεῖναι. καὶ μικρὸν ἤδη σιωπῆς καὶ γαλήνης ἐκεῖσε γεναμένης καὶ πάντων (ὡς ἀληθῶς εἰπεῖν) ἐκ τῆς ἄγαν ἀθυμίας πρὸς ὕπνον τραπέντων, μόνος ὁ πατὴρ νήφων καὶ ἄγρυπνος τὴν τοῦ υἱοῦ ἀπεκλαίετο συμφοράν τε καὶ στέρησιν καὶ τὸν θεὸν ἀλαλήτοις φωναῖς ἐλιπάρει. πολλῶν δὲ ὡρῶν ἤδη τῆς νυκτὸς διελθόντων, ἡ ὥρα τῆς ἀλεκτροφωνίας ἐπέστη καὶ ἡ πρὸς σύναξιν τῆς ἑωθινῆς δοξολογίας τῶν ἐκκλησιῶν ἥκει· ὁ δὲ παῖς ὡς νεκρὸς καὶ ἄπνους καὶ ἀκίνητος μένων ὕπτιος ἐπὶ τῆς κλίνης ἀνέκειτο. αὖθις δὲ θεία τις ἐπίσκεψις εἰς αὐτὸν γεναμένη καὶ τὴν νέκρωσιν τοῦ σώματος εἰς εὐκινησίαν κινοῦσα τὸν ἀκίνητον ἀληθῶς καὶ τρέχειν καὶ φωνεῖν παρεσκεύασε· τὰ γὰρ ἐπ' αὐτῷ κείμενα πέπλα ὡς δεσμά τινα διαρρήξας, τῆς κλίνης ἐξαναστὰς δρομαίως πρὸς τὴν πύλην τοῦ θείου ναοῦ ἐξίστατο, φωνῇ δὲ μεγάλῃ κράζων τοῖς παροῦσιν ἐβόα· «Οὐκ εἴδατε πάντες τὴν πάντων κυρίαν, τὴν μητέρα τοῦ κτίστου καὶ θεοτόκον, ἅμα τῆς ἁγίας Θεοφανὼ βασιλίσσης εἰς τὸν ναὸν εἰσιούσας;» τῶν δὲ φησάντων· «Οὔ· ἀλλὰ τίς καὶ πῶς καὶ πόθεν ἡ τοιαύτη μεταβολὴ γέγονε, τέκνον;» αὐτὸς νήφων καὶ ἐρρωμένον ἔχων τὸν νοῦν καὶ τὸ σῶμα ὡς μηδέπω ὅλως πληγείς, φόβῳ πολλῷ συνεχόμενος ἔφη· «Εὐχαριστῶ σοι, δέσποινα θεομῆτορ, ὅτι οὐκ ἀπηξίωσας τῆς ἐμῆς οὐθενείας τὴν σωτηρίαν περιποιήσασθαι, ἀλλὰ διὰ τῆς ἱκεσίας τῆς σῆς
f. 47 θεραπαίνης Θεοφανὼ | βασιλίσσης ταῖς πατρικαῖς μου εὐχαῖς [33]) ἐπιδοῦσα ἐμὲ τὸν ἀνάξιόν σου οἰκέτην τοῦ ἀοράτου τούτου ἐξείλου θανάτου».

29. Ἐπὶ πολὺ δὲ παρὰ πάντων καὶ τοῦ πατρὸς πλέον ἐρωτώμενος εἰπεῖν τὴν αἰτίαν καὶ θέαν τῆς ὀπτασίας, ἀνοίξας τὸ στόμα μετὰ δακρύων ἔφη· «Ὤιμην, ὦ πάτερ καὶ φίλοι, ὡς ἐν ὕπνῳ δή τῳ καθεύδειν, μηδὲν δὲ τὸ σύνολον ἐπαισθάνεσθαι ἢ λογίζεσθαί τινος τῶν ἐν βίῳ. ἐπέστη δέ μοι ἄφνω γυνή τις εὔοπτος καὶ ὡραία, πορφυροῦν χιτῶνα φοροῦσα· ἦν δὲ αὐτῆς καὶ ἡ ἐπιμετώπιος τῆς κάρας κόσμος τάξιν φακιολίου λινοῦ στιβαρῶς διπλούμενος. περιβέβλητο δὲ καὶ εἰς περιβολὴν μαφορίου, ὡς θέριστρον κόκκινον χρυσοῖς κροσσωτοῖς διαλάμπον. ἐκ δεξιῶν δὲ ταύτης παρείπετο ἡ ἁγία Θεοφανὼ ἡ βασίλισσα, ὑποβεβληκυῖα τὴν αὐτῆς χεῖρα τῇ δεξιᾷ τῆς πανάγνου· ἦν δὲ καὶ ἡ ταύτης στολὴ βασιλικὴ χλανὶς περιστιλβομένη χρυσίῳ καὶ μαργαρίταις· ἐστεμμένη δὲ διαχρύσῳ βασιλικῷ διαδήματι. ἐπὶ δὲ τῆς εὐωνύμου χειρὸς τῆς πανάγνου παρείπετο καὶ ἡ ἐμὴ μήτηρ

---

6. ὕπνον: ὕμνον 13. φωνὴν 15. εἴδατε: οἴδατε 17. ἰσιούσας 18. ἐρρώμενον 20. δέποινα (δέ am Ende der Zeile) θεομήτορ 22. θεράπαινος ἐφιδοῦσα 23. ἐξήλου 24. ἐρωτωμένου 26. ὑπνωδητῷ (ὕπνω am Ende der Zeile) 30. κροσσωτοῖς (oder κροττωτοῖς?): κροτωτοῖς διαλάμπων 32. χλαμὶς 33. στεμμένη

δακρυρροοῦσα καὶ δεομένη ταῖς ἀμφοτέραις καὶ θερμῶς λιπαροῦσα· ἐξ ὧν πρὸς ταύτην, ὡς ἤκουσα, λέξαι· Μὴ ἀθύμει, γύναι· πίστευε καὶ ὄψει τοῦ υἱοῦ καὶ θεοῦ τὴν δόξαν. αἳ καὶ πλησίον τῆς ἐμῆς κλίνης ἐλθοῦσαι προετρέψαντο τὸ δοκεῖν τὴν ἐμὴν μητέρα σχηματίσασάν με ὑποδεῖξαι ταύταις τῶν σπλάγχνων τὴν θέσιν. ἡ δὲ τοῦτο ποιήσασα τάχει, — λέξαι πρὸς τὴν ὄντως ἁγίαν Θεοφανὼ τὴν θεοῦ μητέρα τάδε· Ψηλάφησαι τὴν αἰτίαν τοῦ πάθους καὶ ἴασαι τοῦτον. ἡ δὲ ἔφη· Τίς γὰρ ἐγώ εἰμι, κυρία, ἵνα τοῦτο πράξω; αὕτη δὲ ἔφη· Ναί· διὰ σοῦ γὰρ μέλλει τελεσθῆναι τὸ ἔργον· ὁ γὰρ δούς σοι τὸ κράτος αὐτός σοι καὶ τὴν χάριν παρέσχεν. ἡ δὲ ἁγία τῶν ἐμῶν σπλάγχνων ἀψαμένη ἔφη πρὸς ταύτην· Ἀπαθὴς ὑπάρχει, κυρία, τοῖς σπλάγχνοις. ἡ δέ φησιν· Ἅψαι τούτου τὴν κάραν, μή πως ἐκ χολώδους ἀναθυμιάσεως προσηυξάνθη τὸ πάθος καὶ ἡ τῶν φρενῶν αὐτοῦ κίνησις ἐπυρώθη. ἡ δέ φησιν· Ὡς κελεύεις, κυρία. καὶ ἅμα τῷ λόγῳ τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρὸς αὐτῆς ἀψαμένης τοῦ μετώπου καὶ σφοδροτέρως τοὺς κροτάφους συσφιγξάσης, αἰσθόμενός τινος πόνου δριμυτάτου, ἐκ τῆς | ὀδύ- f. 47 v.
νης ἀνέστην· καὶ ἰδοὺ ἀκμὴν βλέπω ταύτας πρὸς τὸν ναὸν τοῦ εὐκτηρίου χαριέντως εἰσιούσας»· ἡμεῖς δὲ πάντες ἐκ τῆς φωνῆς τοῦ παιδὸς ἀγασθέντες δρομαῖοι πρὸς τὸν εὐκτήριον εἰσήλθομεν οἶκον καὶ εὕρομεν πάντα τὰ ἐκεῖσε κρεμάμενα φωτοδοχεῖα ὡς ἔκ τινος σεισμοῦ κινηθέντα καὶ ἄλλα φερόμενα πρὸς ἄλλα· αἱ δὲ τῶν κεκλεισμένων θυρῶν ἀσφαλεῖς κλειδουχεῖαι, ὡς ἐκ πατάγου τινὸς ἀνέμου, κρότου καὶ ἤχου οὐ μικρὸν ἀπετέλουν. καὶ ταῦτα ἑωρακότες κοινῇ φωνῇ ἅμα καὶ γνώμῃ τῷ θεῷ τὴν πρέπουσαν ἀνεπέμψαμεν δοξολογίαν.

30. Ἄλλη δέ με φοβερὰ καὶ ἐξαίσιος τῆς ἁγίας ἐπιστασία πρὸς διήγησιν ἐπεισάγει· ὃ γὰρ ἔπαθον ἐξ ἀνοίας εἴτε ἐξ ἀφροσύνης εἴτε ἐκ δαιμονικῆς ἐνεργείας, οὐκ ἐπαισχυνθήσομαι φράσαι· τῷ θεῷ γὰρ καὶ τῇ ὄντως ἁγίᾳ ἐξαγγέλλω τὸ πρᾶγμα. ἐγένετό μοί τις δυσπιστία τῶν δι' αὐτῆς τελουμένων θαυμάτων καὶ ὁ νοῦς τῇ αἰσθήσει πρὸς ἀλλήλους σχολάζων, συλλογισμοὺς ἐξ ἑκατέρων συνίστα, τοὺς μὲν πείθειν κελεύων τοὺς δὲ ἀπιστεῖν παρασκευάζων· διαλογισμοὶ δέ μοι ἀνέβαινον ἐν καρδίαις πλέον, μᾶλλον δυσπιστεῖν ἐγκελεύοντες ἤπερ εἰς πίστιν τὰ λεγόμενα φέρειν. μιᾷ οὖν ὥρᾳ μεσημβρίας ἐπὶ κλίνης νήφων ἐν ἀναπαύσει τὰ αὐτὰ σκοπῶν, τὸν νοῦν ἐγγυμνάζων εἰς ὕπνον ἐτράπην καί φημι· καθ' ὕπαρ ἐπέστη πρός με Μαρτῖνος ὁ ἀρτοκλίνης [34]), ὁ τῆς ἁγίας μὲν θεῖος ὑπάρχων, ἐμοὶ δὲ γνήσιος φίλος καὶ γνωστὸς κατὰ πάντα· καὶ ὡς δῆθεν λιπαρῶν ἔφη μοι τάδε· «Πῶς σὺ λέγεις φιλεῖν με, μὴ τελῶν μοι τὰς μικρὰς ταύτας αἰτήσεις;» ἐγὼ δὲ πρὸς αὐτὸν ἀπεκρίθην· «Ποίας ταύτας, ὦ τίμιε φίλε;» ὁ δέ φησιν· «Εἰπόν σοι διαφόρως ὕμνοις δοξάσαι μοι τὴν ἁγίαν καί, ὅσον ὁ θεὸς

2. γῦναι viell. υἱοῦ ⟨τὴν ὑγίειαν⟩ καὶ 4. ταύτας 8. αὐτός σου
14. τοῖς κροτάφοις συνσφιξάσης 15. ἀνέστη 19. κλειδουχεῖάι (viell. κλειδωνιαί?)
24. ἐξαγγέλλων 27. πεῖθεν 28. εἴπερ 30. φησὶ (ebenso 22,2)
32. λιπαρὼν 33. τελῶν: θέλουν 35. viell. διαφόροις? μοι: με

χορηγήσει σοι φράσειν, ἐξυφᾶναι κανόνα εἰς δόξαν τοῦ κυρίου καὶ ταύτης τιμὴν καὶ ἀνάμνησιν.» ἐγὼ δέ φημι πρὸς αὐτόν· «Καὶ ποίᾳ ὑποθέσει χρήσομαι τῶν ἐκείνης κατορθωμάτων; οὐ πάρεστιν αὐτῇ ἀσκήσεως δρόμος οὐδὲ μαρτυρίου ἀγῶνες, οὐ θαυμάτων ἐπίδειξις καὶ τί λέξαι ἢ συγγράψασθαι ἀπορῶ». ὁ δέ φησι πρός με· «Μὴ κατοκνήσῃς διὰ θεὸν τοῦ ἐγχειρήματος τούτου, ἀλλὰ λαβὼν f. 48 χάρτην καὶ κάλαμον ἅπερ σοι λέγω | συγγράφου». λαβὼν αὖθις κάλαμον ἅμα καὶ χάρτην γελοιάζων πρὸς τοῦτον ἔφην· «Λέγε ἃ βούλει· ἑτοίμως ἔχω τοῦ γράφειν ὅσα ἂν προσφωνῇς μοι». ὁ δέ φησι πρός με· «Ποίησον πρὸς τὸ Ὁδηγήσαντα πάλαι θεοφανείας λαμπτῆρα φωτοειδῆ ἔθετο τῇ ἐκκλησίᾳ σε Χριστός». καὶ αὖθις ἔξυπνος ἐγενάμην, εἰς μνήμην φέρων τὸν ῥηθέντα μοι λόγον. ἐξαναστὰς δὲ τῆς κλίνης καὶ τὸ μελανοδόχον λαβόμενος σκεῦος, ἅμα δὲ καὶ τόμου τινὸς εὔχρηστον μέρος, ἠρξάμην γράφειν, ἅπερ καθ' ὕπνους ἐρρέθη, καὶ τοσοῦτον ὁ νοῦς μου κατήπειγε τὴν χεῖρα, ὥστε μήτε τὴν βαφὴν τοῦ καλάμου συγχωρεῖσθαι τελεῖν με· καὶ αὖθις τοὺς δύο ἅμα συνεγραψάμην κανόνας, τὸν εἰς τέταρτον τόνον ὄντα καὶ τὸν εἰς πλαγίου δευτέρου.[35]) ἔκτοτε γοῦν βεβαίαν πίστιν περὶ ταύτην λαβών, ἐδεόμην ἀεὶ τὴν ταύτης ἀντίληψιν καὶ τὴν πρὸς θεὸν παρρησίαν.

31. Μετ' οὐ πολὺν δὲ χρόνον πάλιν ἡ αὐτή μοι ἐπέστη ἀπρεπὴς δυσπιστία καὶ ἐμερίζετό μου ὁ νοῦς εἰς πίστιν κἀπιστίαν· καὶ ὀλίγου καιροῦ παρῳχηκότος, περιέστη μοι ἀδόκητος νόσος κατατρύχουσά μου τὸ σῶμα· τῶν νεφρῶν ἐκ τῆς χολώδους θερμότητος λιθιασάντων, ὀδύναι καὶ πόνοι κατὰ τῶν λαγόνων τεχθέντες ἐξέθλιβόν με μεγάλως. ἐκ δὲ τῆς τούτων ὀδύνης καὶ ἡ τῶν ἀναγκαίων χρειῶν ἐπεσχέθη μοι ἔκκρισις καὶ γέγονα ὡσεὶ ἀσκὸς ἐν πάχνῃ, ἐν εἴκοσι καὶ ἑπτὰ ὅλαις ἡμέραις δεινῶς πιεζόμενος. πολλῶν δὲ ἰατρῶν εἰς ἐμὲ ἐλθόντων καὶ μυρίων φαρμάκων διὰ τῶν ἐντὸς καὶ ἐκτὸς ἐπιτεθέντων, οὐδεμία μοι ἐλπὶς σωτηρίας ἐδηλοῦτο. πάντων δὲ ἐξαπορησάντων καὶ ἀπόφασιν θανάτου προσμελετώντων, ἔφη πρός με ὁ ἀνωτέρω μνημονευθείς μοι συνομαίμων, ὁ διὰ τῆς χάριτος τῆς ἁγίας ἐκ τοῦ φάρυγγος ἀποσπασθεὶς τοῦ θανάτου· «Οἶδας, ἀδελφέ, ὅτι ἀπέκαμέν σοι τῶν ἰατρῶν ἡ ἅπασα τέχνη καὶ τί μέλλεις λοιπὸν ποιεῖν; ἰδοὺ ἐπὶ θύραις τὸ τέλος καὶ ἡμᾶς πάντας καταλιμπάνεις· ἀλλὰ δεῦρο ἄκουσόν μου καὶ ἀποσταλήτω τις ἐξ ἡμῶν εἰς τὸ ἅγιον τέμενος τῶν σοφῶν Ἀποστόλων καὶ λαβέτω ἐκ τῶν ἁγίων ἐκείνων ναμάτων καθαρώτατον ὕδωρ καὶ ἀπομυρισάτω

---

1. φρᾶσιν, ἐξυφάναι 2. ποίαν ὑπόθεσιν 5. καθοκνήσης 7. γελοιάζων Vitelli: γελιάζων ἔφη 8. ὁδηγήσαντι 12. ἐρέθη 13. κατέπειγε 15. τόνον Vitelli: τον πλάγη 19. κἀπιστίαν Vitelli: καὶ πιστίαν 21. ὀδῦνες 22. ἐξέθλιβέ με 23. ἐπεσχέθη: ἐπαισχύνθη ἔκκρισις: ἔκκρηξις (23,9 ἔκκρυσις) 25. ἐπιθέτων (man könnte auch an μυρία φάρμακα... ἐπιθέντων denken) 26. ἐξαπορησάντων: ἐξαιδορησάντων 27. συνομαίμων Vitelli: συνμαίμων 29. μέλλει 31. ἀποσταλείτω

τὸν τάφον τοῦ ὁσίου πατρὸς ἡμῶν Μεθοδίου [36]) καὶ τὸν τῆς ἁγίας λάρνακα καὶ θεοφόρου Θεοφανὼ βασιλίσσης καὶ | λαβέτω ἔλαιον ἐκ τῶν ἐκεῖσε φωτοφόρων f. 48 v. κανδηλῶν· καὶ πιὼν ἐξ αὐτῶν, ἐκ πίστεως θείας τῷ θεῷ παρακάλει, καὶ αὐτὸς ἡμᾶς ἐλεήσει». καὶ τούτου παρευθὺ γεναμένου, ἡ τῶν ἁγιασμάτων παρέστη δωρεά· ἐγὼ δὲ λαβὼν τὸ σκεῦος, ἐν ᾧ τὰ νάματα ἦσαν, καὶ τὴν βοήθειαν τῶν ἁγίων καὶ τῆς θεοφόρου Θεοφανὼ τὴν ἐπικουρίαν προσκαλεσάμενος ἔπιον ἀφειδῶς, μέχρις ὅτου ἐξωγκώθην τοῖς σπλάγχνοις· καὶ ἅμα τῇ καταπόσει τοῦ ἁγιάσματος ἐπετάθη μοι ὁ καταγάστριος πόνος, ὥστε δοκεῖν με διαρραγῆναι καὶ θνῆξαι. μικρᾶς δὲ ὥρας παρελθούσης, ἡ ἔκκρισις τῶν ὑγρῶν μου τῇ κύστει παρέστη καὶ εἰς τοσοῦτον τὸ σεσηπὸς τρυγῶδες ὑγρὸν ἐξεχύθη, ὥστε δύο πλησθῆναι ὑέλινα σκεύη· ὄπιθεν δὲ τούτου συνεκπεπτώκει λίθος πυρρίζων, ἐρεβίνθου μέγεθος ἔχων. εὐθέως ἡ τοῦ δεξιοῦ λαγόνος ἐλώφησε τιμωρία. καὶ οὐ μετὰ πολλὰς πάλιν ὥρας καὶ ἡ τοῦ εὐωνύμου ἤρξατο ἐπαυξάνειν ὀδύνη· καὶ πάλιν τῶν ἁγιασμάτων εἰς κόρον ἐμφορηθεὶς τῆς αὐτῆς ἔτυχον σωτηρίας. καὶ ἔκτοτε χάριτι θείᾳ καὶ τῇ τῆς ἁγίας θεοφόρου πρεσβείᾳ ἐκ τῆς τοιαύτης νόσου παντελῶς ἀπηλλάγην. ἡνίκα δὲ ἀπότοτε μικρά μοί τις ἐξ ἀπροσεξίας προσνύσσει τοῖς νεφροῖς ὀδύνη, τῶν θείων αὐτῆς ἐμφορούμενος ναμάτων, τὴν ὑγείαν ὡς ἔκ τινος πηγῆς ἀεννάου ἀπολάβω.

32. Ταῦτα τὰ τῆς πτωχῆς ἐμοῦ διανοίας τῆς θεοφόρου βασιλίδος τὰ ἐκ πίστεως διηγήματα· ταῦτα τῆς ὄντως ἐκ θεοῦ μεμελημένης τὰ ἐκ βρέφους ἱερὰ προτερήματα· ταῦτα τῆς ἐκ μήτρας ἁγιασθείσης τὰ λαμπρὰ κατορθώματα· ταῦτα τῆς ἐκ μήτρας ἁγιασθείσης καὶ ἐκ θεοῦ εἰς κοινωνὸν βασιλείας ἐκλεχθείσης τὰ σεπτὰ διηγήματα· αὕτη ἡ εἰς τὰ βασίλεια ψήφῳ θεοῦ ταύτης ἀνάβασις καὶ ἡ ἐν τοῖς βασιλείοις κρυπτομένη διὰ Χριστὸν ἄσκησις· αὕτη τῶν θαυμάτων ἡ ἀναβλύζουσα χάρις καὶ ἡ τῶν πίστει προσιόντων αὐτῇ τῶν ἰάσεων δωρεά· αὕτη τῶν θλιβομένων ἡ ἀψευδὴς σωτηρία καὶ τῶν εὐημερούντων ἡ ἀκλόνητος στήριξις· τὰ δὲ ἄλλα, ὅσα ὁ χρόνος διὰ τὸν φόβον εἰς λήθην παρέπεμψε [37]), τίς ἄρα ἐφίκοιτο λόγος; ἑκοντὶ γὰρ ταῦτα σιωπῇ | τιμᾶσθαι ὁ λόγος παρακελεύεται. f. 49 ὁ γὰρ ταύτην ἁγιάσας ἐκ μήτρας καὶ τὴν ὑπομονὴν τῶν νόσων καὶ ἀνιάτων αὐτῇ δωρησάμενος καὶ τὴν ἀμνησίκακον καὶ ἄφθονον αὐτῇ χαρισάμενος δώρη-

---

1. καὶ ἐκ τὸν (viell. ἔτι statt ἐκ?) 2. λαλαβέτω (das erste λα am Ende einer Seite) 3. πιστέως 5. δωρεᾶ ἦσαν: εἴεσαν 7. ἐξωγκώθη 8. ἐπετάθη (oder ἐπετάνθη?): ἐπεκτάνθη 9. κύστη 11. ὄπιθεν: ὄπηθεν πυρίζων 12. ἐλοφησε μεταπολλῆς 16. ἀπηλλάγειν ἀποτότε 19. ἐμοῦ? (viell. μου oder ἐμῆς?) 20. ἐκ θεοῦ μεμελημένης? (man erwartet θεῷ μ. nach 2,26 oder ἐκ θεοῦ ἠλεημένης, vgl. vita Basil. jun. p. 45,26 Veselovskij: ἡ δὲ τιμία ἐκείνη καὶ ὑπὸ θεοῦ ἐλεημένη (sic) 22. ἐκλεχθεῖσα 26. εὐμερούντων 28. ἀφίκοιτο

σιν—αὐτός, ὡς πάντα γινώσκων τὰ κρυφῆ, καὶ φανερῶς αὐτὴν ἐφ' οἷς ἐπίσταται κρίμασιν ἀντεδόξασε τοῖς χαρίσμασι, δοὺς ἡμῖν ταύτην, τῆς πατρίδος ἡμῶν καύχημα, εἰς βασιλείας ἀγλάϊσμα, εἰς εὐρωστίας πηγήν, εἰς ἀλεξητήριον νόσων, εἰς θλιβομένων παραμυθίαν, κινδυνευόντων βοήθειαν, ἀπορουμένων παρηγορίαν, ὀρφανῶν καὶ χηρῶν προστασίαν, ὀδυνωμένων θεραπείαν καὶ δαιμονιώντων καθάρσιον· δι' ἧς τὴν εὐχαριστίαν καὶ τιμὴν καὶ προσκύνησιν προσάγομεν τῷ θεῷ καὶ πατρὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

---

1. εἰς αὐτὴν 3. εὐρωστείας ἀλεξιτήριον

II.

Τοῦ σοφωτάτου κυροῦ Νικηφόρου τοῦ Γρηγορᾶ λόγος εἰς τὴν ἁγίαν Θεοφανὼ τὴν βασιλίδα. Vind. f. 108

1. Πολλοί μοι πολλάκις τῶν ἀρετῇ καὶ συνέσει διαφερόντων προσίασιν ἄλλοτε ἄλλοι παραινοῦντες καὶ συμβουλεύοντες μὴ καθάπαξ ταῖς ἔξω μελέταις σχολάζειν ἀεὶ καὶ τοῖς ῥητορικοῖς καὶ φιλοσόφοις τῶν λόγων ὁλοσχερῶς προσανέχειν· κόρον τε γὰρ εἶναι τῶν πάντων καὶ ἅμα δίκαιον μεθαρμόζειν ἐνίοτε τὴν γλῶτταν ἐκ τῆς ἑλλάδος φωνῆς καὶ πρὸς σεμνότερα καὶ θειότερα διηγήματα πάλαι μὲν καλῶς βιωσάντων ἁγίων ἀνδρῶν οὐ τυχόντων δ' ἀξίας φωνῆς δυναμένης παραπέμψαι μήτε τῷ χρόνῳ τὴν μνήμην μήτε τοῖς ἐπιγιγνομένοις ἀεὶ τὴν ἐντεῦθεν ὠφέλειαν· χρῆναι δὲ καὶ ἄλλως ὁμοῦ μὲν τοῖς οὕτω ποτίμοις τῶν διηγημάτων οἷον ἁλμυρὰν ἀκοὴν ἀποξέειν ἐνίοτε καὶ ἅμα τοῖς τῆς ἀρετῆς ἐρασταῖς τράπεζαν καὶ τροφὴν προτιθέναι πνευματικὴν καὶ διεγείρειν πρὸς ἔνθεόν τινα ζῆλον τῶν ἀγαθῶν ἔργων, ἐπεὶ καὶ ἄνεσις γίνεται καὶ ψυχαγωγία διὰ τὴν ἐκ τῶν θύραθεν ἐπὶ τὰ οἰκεῖα καὶ γνήσια μετάθεσιν καὶ σπουδὴν καὶ τὴν ἀπὸ τῶν σκληρῶν καὶ ἐπιπόνων ἐπὶ τὰ λειότερά τε καὶ ἀληθέστερα σχολήν, μὴ μόνον τοῖς λέγουσιν ἀλλὰ καὶ τοῖς ἀκροαταῖς πολλὴν μετὰ τῆς ὠφελείας προξενοῦσα καὶ τὴν τῆς ἀκοῆς ἡδονήν· ἡ γὰρ τῶν τοιούτων | ἀφήγησις ἐξομαλίζει f. 108 v. μὲν καὶ καταστέλλει τὸ περὶ τὴν ψυχὴν ταραχῶδες, ὁπόσον αὐτῇ, τῶν αἰσθήσεων ῥαθυμότερον διακειμένων, ῥυεῖσα σφοδρότερον ἡ τῆς ἔξωθεν ἀσχολίας ἀτακ-

---

Codex Vindobonensis theolog. graec. 279 = V
Codex Monacensis graec. 10, fol. 33—60 = M

3. πολλοὶ—συνέσει = Hist. II 882,1   6. τὲ von derselben Hand übergeschrieben V γὰρ fehlt M   8. δυναμένης fehlt V   10. ποτίμοις—ἀκοήν = Pl. Phaedr. 243 D   13. τι ζῆλον ἀγαθῶν M   15. τὰ τελειότερά τε M   19. διακειμένων—σφοδρώτερον am Rande von späterer Hand M

τος καὶ ἀνώμαλος συναθροίζει φορά· ἀποκρούεται δὲ καὶ πᾶσαν κατήφειαν καὶ περίστασιν, ὁποίαν καὶ ὅσην ῥέων ὁ χρόνος ἐπισωρεύει, κακῶς εἰς βυθοὺς ἀπογνώσεως συνελαύνουσαν· ὥσπερ γάρ, ἡλίου τὰς ἀκτῖνας ἐν ἔαρος ὥρᾳ πρὸς πᾶσαν ἁπλώσαντος γῆν, πάντα ζῷα καὶ φυτὰ σκιρτᾷ καὶ χαίρει καὶ οἷον ἐγκαινίων ἄγει πανήγυριν, οὕτω καὶ πνευματικὴ διήγησις εὐφροσύνης ἄγει πανήγυριν ταῖς τῶν ἀκουόντων ψυχαῖς καὶ λύπης νέφος ἅπαν ῥᾷστα διαλύει καὶ ἀποκρούεται.

2. Δόξαν οὖν καὶ ἡμῖν δίκαιον τῇ τῶν φίλων ἐκείνων πείθεσθαι παραινέσει καὶ συμβουλῇ, γραφῇ πολλάκις καὶ μνήμῃ δεδώκαμεν εἰς ὅσον ἐξῆν ἀνδρῶν ἁγίων βίους ἄλλοτε ἄλλων ὑπὲρ ἀληθείας καὶ ἀρετῆς ἀγωνισαμένων καὶ μακρὰν παρέσχομεν (σύν γε θεῷ) τὴν ὠφέλειαν καὶ ῥαστώνην τοῖς τε λέγουσιν ἡμῖν κἀκείνοις αὖ τοῖς ἀκούουσι· κἂν τῷ παρόντι δ' ὁμοίως ταῖς χρηστοτέραις ἐλπίσιν ἑαυτοὺς ἐπιρρώσαντες ἥκομεν ἤδη τήν τε τῶν φιλοθέων τούτων ἀνδρῶν πληρώσοντες αὖθις παράκλησιν καὶ Θεοφανοῦς τῆς ὁσίας καὶ βασιλίδος τὸν βίον γραφῇ f. 109 παραπέμψοντες ὥς γε ἡμῖν ἐφικτόν, ἐφόδια παρειληφότες ὅσα ἡμῖν | οἱ πρὸς ταύτην ἐγείραντες τὴν γραφὴν προτιθέασιν ὑπομνήματα, μικρὰ μὲν καὶ ὥσπερ διερρωγότα καὶ διεσπασμένα ἐξ ἑνός τινος σώματος μέρη καὶ μέλη, δυνάμενα δ' οὖν ὅμως οἱονεί τινα σπέρματα γενέσθαι τῇ προθυμίᾳ τῆς ἡμετέρας γλώττης καὶ διανοίας· οὐδὲ γὰρ στοχαστική τις καὶ ἀδρανής ἐστιν ἡ ὑπόθεσις καὶ ἣν ἀκούων ἀμφιβάλοι τις ἄν, τοῦ χρόνου παρενεγκόντος τὴν μνήμην εἰς λήθης πυθμένας, ἀλλὰ τιμία καὶ σφόδρα περιφανὴς καὶ περίβλεπτος, οὐ μόνον ὅσα θειότερα καὶ ὑπὲρ ἡμᾶς ἀλλὰ καὶ ὅσα μετὰ τῆς ὕλης τῇ ὁσίᾳ ἐστὶ πεπραγμένα, τά τε τῆς φύσεως δηλαδὴ καὶ ὅσα τῆς τύχης, καὶ μάλιστα πάντων ὅσα τῆς προαιρέσεως· οὐ γὰρ τοσοῦτον τοῖς πεπραγμένοις, ὅσον ταῖς προαιρέσεσι προσέχειν δεῖν οἱ σοφοὶ παραινοῦσιν· ἐκεῖνα μὲν γὰρ ὑπὸ τῆς τύχης τὸ πλεῖστον εἰδοποιούμενα ἐφ' ἑκάτερα τὴν ῥοπὴν ταλαντεύει καὶ νῦν μὲν ἐπαινούμενον ἔχει τὸ τέλος νῦν δ' ὑβριζόμενον· αἱ δ' ἀγαθαὶ προαιρέσεις οἴκοθεν ἔχουσιν εὐθὺς τὴν τῶν ἐπαίνων εὔκλειαν.

3. Καὶ λογιστέον λοιπὸν ὁπόσα τὰ κάλλιστα καὶ περιφανῆ συνερρύη τῇ ὑποθέσει· βλαστήσασα γὰρ ἀπὸ ῥίζης λαμπρᾶς τε καὶ εὐγενοῦς ἡ ὁσία σύζυγον εὐθὺς εὐτύχησε βασιλέα διά τε τὴν τῆς ψυχῆς ἀρετὴν καὶ τὴν τοῦ σώματος ὥραν· ἡ δὲ βασιλεία τῆς κάτω εὐδαιμονίας ἐστὶ τὸ κράτιστον· (ἓν μὲν δὴ τοῦτο f. 109v. τῆς ἁγίας εὐτύχημά τε καὶ | κλέος)· εἶτα καὶ σοφὸν βασιλέα τήν τε ἡμετέραν ταύτην καὶ ὅση τῶν θύραθέν ἐστι σοφία· ὃ δὴ περιφανέστερον τῆς πορφύρας ἦν ἐκείνῳ μόνῳ τῶν βασιλέων· (δευτέρα τοῦτο ταύτῃ λαμπρότης)· πατρίδος δ' αὖ τῆς αὐτῆς ἦν τῷ συζύγῳ καὶ βασιλεῖ, καὶ ταύτης τῶν ὑφ' ἡλίῳ κρατίστης, λέγω δὴ τῆς βασιλίδος τῶν πόλεων· οὔτε γὰρ βασιλέως ἐστὶν εὐτυχέστερον ἐν

---

1. δὲ πᾶσαν M 11. αὐτοῖς M 12. πληρώσαντες M 18. ἀδρανής V ἀφανής M 23. δεῖ V 31. βασιλεία—κράτιστον, vgl Hist. II 807, 16

γῇ οὔτε τῆς τῶν πόλεων βασιλίδος εὐδαιμονεστέραν εὕροι τις ἂν καθ' ὅσα θαυμάζουσιν ἄνθρωποι· ἵσταται γὰρ ἐν τῷ κρατίστῳ μέρει τῆς οἰκουμένης καὶ τῶν τεσσάρων στοιχείων καρποῦται τὰ ἄνθη καὶ οἱον ἀγορά τις κοινὴ τῆς οἰκουμένης ἀπάσης γίνεται, πάντα μὲν καρπουμένη πανταχόθεν τὰ ἀναγκαῖα τῆς φύσεως ὥσπερ κοινὸν καὶ παγκόσμιον πρυτανεῖον, πρὸς πάντας δ' αὖ διανέμουσα πάντα τῷ προσήκοντι λόγῳ, καθάπερ πρὸς ὑπηκόους καὶ δούλους βασιλεὺς οἰκουμενικὸς καὶ δεσπότης· καὶ ὡς ἄμπελος εὐθηνοῦσα οἶνον πάσης ἡδονῆς ἀεὶ ληνοβατεῖ καὶ δίδωσι παντοδαπόν τινα κιρνῶσα πλούτου πορισμὸν καὶ πᾶσαν ἄρδει γῆν καὶ θάλασσαν ὁμοίως ἀνὰ πᾶσαν ὥραν καὶ καιρόν.

4. Πάσης γὰρ ἄλλης πόλεως εἴ τί που κλέος ἦν, βραχὺ φανὲν ἀπεκρύψατο· Ῥώμη γὰρ ἡ παλαιὰ καὶ Βαβυλὼν ἡ Σεμιράμιδος καὶ Καρχηδὼν ἡ τῆς Ἀφρικῆς μητρόπολις — ἡ μὲν τῆς Εὐρώπης, ἡ δὲ τῆς Ἀσίας, ἡ δὲ | τῆς Λιβύης εἶχον f. 110 πάλαι τὸ θαῦμα, τὴν οἰκουμένην ὅλην ὥσπερ διανειμάμεναι. καὶ Τροίαν ἐκείνην ὕμνησε τέως τῆς ὁμηρικῆς Καλλιόπης ἡ γλῶττα, Ἀθῆναι δὲ καὶ αὕτη μήτηρ ἐγένετο Δημοσθένους πάλαι καὶ Πλάτωνος καὶ λόγων ἦν ὡς ἀληθῶς ἀκρόπολις· καὶ τὸ τῆς σοφίας ταύτης κλέος καὶ αὐτῶν (εἰπεῖν) τῶν οὐρανίων ἔψαυεν ἀψίδων. ἀλλὰ νῦν ἐν μόνοις ὀνόμασιν ἔχουσιν ἐκεῖναι πᾶσαι κειμένην τὴν μνήμην καὶ ὠρφανισμένην πραγμάτων, ἀφαιρεθείσης ἑκάστης ἐκείνων ἅπαν τὸ κλέος ὁμοῦ καὶ τὸ κράτος ὑπὸ τῆς Κωνσταντίνου. ἡ δὲ καὶ τέθηλέ τε καὶ αὔξει διηνεκῶς καὶ ὥσπερ ἐπὶ μέσου θεάτρου τῆς οἰκουμένης σκιρτᾷ καὶ χορεύει μετὰ μάλα τοι σφόδρα μεγάλης τῆς ἡδονῆς ἀεὶ καὶ (κατὰ τὸν θεῖον φάναι Δαυὶδ) ἐκάλυψεν ὄρη ἡ σκιὰ αὐτῆς καὶ αἱ ἀναδενδράδες αὐτῆς τὰς κέδρους τοῦ θεοῦ· καὶ βασιλεῖς Ἀράβων καὶ Σαβὰ καὶ βασιλεῖς Θαρσὶς καὶ πᾶσα γῆ καὶ θάλασσα δῶρα μὲν αὐτῇ προσάγουσι, δῶρα δ' αὖθις ἐξ αὐτῆς κομίζονται. οὕτω κατὰ πασῶν βασιλικὸν ἔχει τὸ κράτος σαφέστατα. ταύτης δ' αὐτῆς οὕτως ἐχούσης, εἰκὸς καὶ τοὺς ταύτῃ διαφέροντας καθ' οἱονδήτινα τῶν ἐπαινουμένων τρόπον κατὰ πάντων ἔχειν ὁμοίως τὰ κράτη σαφέστατά τε καὶ ἀναμφίλεκτα· δῆλον γάρ· λέοντες μὲν λέοντας γεννῶσι καὶ πιθήκους πίθηκοι | καὶ ἄλλα μὲν τὰ τῶν αἰθεροδρομούντων f. 110v. ἀετῶν ὁρμήματα ἄλλα δὲ τὰ τῶν ἐμπίδων καὶ μυρμήκων. ἐπὶ δὲ τούτοις καὶ οἰκιστὴν ἔσχε Κωνσταντῖνον τὸν ἐπ' εὐσεβείᾳ πάντων βασιλέων κράτιστον. ἃ δὴ

5. πρυτανεῖον, vgl. Hist. II 678,2 ff. 7. οἶνον V οἷον M 10. βραχὺ φανὲν ἀπεκρύψατο = Hist. I 441,6; II 980,4 15. λόγων ἀκρόπολις, vgl. Hist. I 475,23 16. αὐτῶν — ἀψίδων = Florentius 495,12 Jahn 17. ἔχουσιν fehlt V 18. καὶ fehlt V 21. ἐκάλυψεν — θεοῦ Ps. 79,11 22. βασιλεῖς — προσάγουσι Ps. 71,10 23. θαρσεῖς VM 25. τοὺς ταύτῃ διαφέροντας die zu der Hauptstadt Gehörigen 27. τὰ κράτηστάτε καὶ ἀναμφίλεκτα (v. späterer Hand ι über η) M γὰρ ὡς λέοντες M λέοντες — γεννῶσι s. Plan. ep. 120, 220 Treu 28. ἄλλα μὲν — μυρμήκων, vgl. Pselli ep. 291,4 Sathas (ἄλλα μὲν λεόντων ὁρμήματα, ἄλλα δὲ πιθήκων μιμήματα); ib. 404,15; Nikeph. Chumn. ep. p. 36 Boiss. Anecd. nova 30. κωσταντῖνον V

πάντα προσθήκη γίνεται θαυμασία τῇ τῆς ὁσίας ἐπιγείῳ τύχῃ τε καὶ λαμπρότητι. ἵνα δ' εὐπαρακολούθητον ἔχῃ τὴν σειρὰν πρὸς τὴν τῶν ἐντυγχανόντων ἀκοὴν καὶ διάνοιαν ἡ διήγησις, ἀρκτέον ἡμῖν ἐστιν ἄνωθεν.

5. Ταύτῃ πατρὶς μὲν ἦν ἡ κρατίστη καὶ βασιλὶς τῶν πόλεων, ὡς εἰρήκαμεν· γεννήτορες δὲ τῶν περιβλέπτων καὶ δόξῃ καὶ πλούτου πολυτελείᾳ κομώντων καὶ τὰς τοῦ γένους φλέβας ἄνωθέν ποθεν ἐκ βασιλικῶν ἕλκοντες πηγῶν. διὰ δὴ ταῦτα καὶ ὁ τῆς ὁσίας πατὴρ πολλῆς μὲν καὶ ἄλλης ἦν ἀπολαύων τῆς παρὰ τῶν βασιλέων τιμῆς, ἦν δὲ καὶ τὴν ἀξίαν πατρίκιος, ὃ τῶν μεγίστων τότε ἀξιωμάτων ἦν. Ῥωμύλος γὰρ ὁ τῆς πάλαι Ῥώμης οἰκιστὴς τοὺς τῆς Ῥώμης οἰκήτορας οὐ μόνον εἰς δήμους καὶ φατρίας διεῖλε καὶ τάγματα στρατιωτικὰ καὶ νόμους ὁπλιτικούς, ἀλλὰ καὶ τοὺς δόξῃ καὶ γένει προὔχοντας εἰς ἑκατὸν ἀπολέξας πατρικίους προσηγόρευσε καὶ βουλευτὰς καὶ δικαστὰς τῶν καθολικωτέρων ἐνομοθέτησεν εἶναι πραγμάτων καὶ τούτων ἄνευ μηδὲν τελεῖσθαι τῶν ἀναγκαίων· f. 111 καὶ ὁ σκοπὸς τῆς τοιαύτης προσηγορίας | καὶ τάξεως λίαν σεμνός· προμηθούμενος γὰρ τῶν ἡττόνων ταῖς τύχαις καὶ ἅμα κωλύων τὸν ἐγγινόμενον ἐκεῖθεν φθόνον ταῖς ὑπερβολαῖς τῶν τοιούτων ἀξιωμάτων, πατρικίους ὠνόμασεν οἱονεὶ πατέρας καὶ κηδεμόνας τῶν ἄλλων, ὡς ἐντεῦθεν εἶναι ἀνάγκην τοὺς μὲν μείζους πατρικῇ χρῆσθαι κηδεμονίᾳ πρὸς τοὺς ἀσθενεστέρους, τοὺς δ' ἥττους, ἀναφέροντας τὸν νοῦν πρὸς τὴν τοῦ ὀνόματος δύναμιν, υἱέων τρόπον διακεῖσθαι ταῖς εὐνοίαις ὡς πρὸς πατέρας [38]) αὐτοὺς καὶ ὥσπερ συγγενῆ φιλίαν διασῴζειν ἑκατέρας τὰς τάξεις ἀλλήλαις. ἐπεὶ δὲ Κωνσταντῖνος ὁ μέγας μετὰ τῆς βασιλείας καὶ τὰς ἐκεῖθεν ἀξίας ἐς Βυζάντιον μετενήνοχε πάσας, ἤνεγκεν ὁμοῦ καὶ τὸ τῶν πατρικίων ἀξίωμα. ᾧ δὴ λοιπὸν ἐν τοῖς ἔπειτα χρόνοις καὶ ὁ τῆς ἁγίας ταύτης ἐτιμᾶτο πατήρ.

6. Γεννητόρων μὲν οὖν τοιούτων ἡ ὁσία γεγέννηται καὶ οὕτω περιβλέπτων τὴν τύχην. ἀλλὰ τἆλλα μὲν εὐτυχεῖς ὄντες αὐτοὶ καὶ πτωχοῖς τὸν πλοῦτον ἀμφοτέραις χερσὶν ἀπαντλοῦντες καὶ λίαν θεοφιλῶς τὸν βίον ἀνύοντες ἐδυστύχουν ἀπαιδίαν μακράν, ὃ δὴ καὶ θανάτου παντὸς ἐγίνετο τούτοις πικρότερον. «Εἰς τί γὰρ ἡμῖν (ἔφασκον) ἀφορᾷ τερπνὸν τὸ τοῦ πλούτου λαμπρὸν μηδενὸς ὄντος ἐκ τῆς ἡμῶν ὀσφύος τοῦ διαδεξομένου; εἰς τί δὲ δούλων καὶ κτημάτων πλῆθος; | f. 111v. εἰς τί δὲ βοσκημάτων; εἰς τί δὲ πέπλων καὶ μαργάρων καὶ τρυφώντων λίθων πολυτέλεια; τέκνου γὰρ οὐ παρόντος ἐρρέτω πάντα». τοιοῦτόν γε μὴν ἐν τῇ ψυχῇ στρέφοντες σάλον καὶ κλύδωνα θλίψεων καὶ τοιούτοις χειμαζόμενοι κύμασι λο-

---

1. ὁσίας V οὐσίας M 3. ἡμῖν ἄνωθεν ἔστιν M 6. τὰς — πηγῶν = Hist. I 564,2 11. νόμους VM (viell. νομοὺς?) τοὺς γένει καὶ δόξῃ M 15. ἡττόνων τ. τύχαις V: ὑποδεεστέρων M 17. κηδαιμόνας (v. zweiter Hand ε über αι) M; ebenso Z. 18 18. κεχρῆσθαι M 25. γεγένηται M 27. ἐπαντλοῦντες M 28. τούτοις πυκνότερον V αὐτοῖς πικρότερον M 30. διαδεξαμένου (von ders. Hand ο über dem zweiten α) V διαδεξαμένου M 33. στρέφοντες—χειμαζόμενοι fehlt M

γισμῶν καὶ νῦν μὲν εἰς ἀπογνώσεως κρημνοὺς ὀλισθαίνοντες νῦν δ' ἐλπίδας ἐξ ἐλπίδων κυλίοντες, τοὺς ἀσκήσει καὶ ἡσυχίᾳ πνευματικῇ συνεζηκότας καὶ ἡλικιῶτιν κεκτημένους τὴν ἀρετὴν περιῄεσαν ἰχνηλατοῦντες συχνὰ καὶ ἄλλοτε ἄλλον ἄνθρωπον τοῦ θεοῦ πρὸς βοήθειαν τοῦ λυποῦντος ἐπεκαλοῦντο καὶ ἀνεμίμνησκον εἴ τί που παραπλήσιον ἐν τοῖς πάλαι χρόνοις ἦν γεγονὸς πρός τε νόσον καὶ ἰατρείαν πρός τε λύπην καὶ θεραπείαν. ἐπεὶ δ' ὁ μὲν χρόνος ἐτρίβετο καὶ τὸ τῆς ἀπαιδίας δεινὸν ὁμοίως ἔχον πρὸς γῆρας ἤλαυνε μετὰ τῆς ἡλικίας αὐτῶν, πρὸς μόνην ἤδη καὶ τελευταίαν ἔβλεψαν ἄγκυραν, τὴν ἄνευ ἀνδρὸς τὸν θεὸν λόγον τεκοῦσαν ἁγίαν παρθένον.

7. Καὶ ὅλῃ ζέσει ψυχῆς πρὸς τὸν αὐτῆς οὑτωσί πως ὀνομαζόμενον ἀφικνοῦνται τοῦ Βάσσου νεών, οὔπω τότε μοναζόντων οἰκητήριον ὄντα· ἀφικνοῦνται δὲ μελεμβαφεῖς ἐσθῆτας περιθέμενοι, διὰ τῶν ἔξω χρωμάτων τοὺς ἔνδον τῆς καρδίας ὑπεμφαίνοντες ἄνθρακας. κἀκεῖ τῇ τῆς θεομήτορος προσπεσόντες σεπτῇ καὶ θείᾳ εἰκόνι, στεναγμῶν ἀνέπεμπον καπνοὺς ἐκ μέσης | τῆς ψυχῆς καμίνου· f. 112 πῦρ γὰρ ἔνδον τῆς λύπης ἐπεβόσκετο τὴν καρδίαν καὶ δριμεῖαι φλόγες ἐντεῦθεν διὰ τοῦ στόματος ἀνεπέμποντο καὶ διεκόπτετο τῆς φωνῆς ὁ δρόμος αὐτοῖς· καὶ γλῶσσαν μὲν εἶχον ἥκιστα φθέγγεσθαι δυναμένην, στόμα δ' (οἷον εἰπεῖν) ἄγλωττον διὰ τὸ τῆς ὀδύνης ὑπερβάλλον. ὀψὲ δ' ὅμως ἀνενεγκὼν ὁ ἀνὴρ καὶ ἀνοίξας τὸ στόμα τοιάδε ἐφθέγγετο· «Δέσποινα θεοτόκε παρθένε, σου τῶν θαυμάτων πλήρης ἅπασα κτίσις· σὺ τὴν γῆν οὐρανὸν ποιεῖν οὐκ ἀδυνατεῖς· σὺ γὰρ τὸν οὐρανοῦ καὶ γῆς ποιητὴν ἐν γαστρὶ συνέλαβες ὑπὲρ λόγον· ἀλλὰ ποίοις κἀγώ σοι χείλεσι τὴν ἐμὴν αἴτησιν προσενέγκω καὶ τὸν ἐγκάρδιον ἐξενέγκω καπνὸν τῆς ψυχῆς μου; ἢ τίς τῶν ἁπάντων ἄνθρωπος ὢν ἐγγὺς ἂν τῆς ἀξίας σοι προσαγάγοι τοὺς λόγους; μόλις γὰρ ἂν ἔδοξέ τι λέγειν οὐρανὸς καὶ γῆ καὶ ἀήρ, πρὸς μίαν διαλυθέντα φωνὴν καὶ πνοήν· ἰδοὺ γὰρ καὶ πάντες προφῆται καὶ διδάσκαλοι καὶ ἀπόστολοι καὶ μουσουργοὶ καὶ σοφοὶ καὶ ἡλικία πᾶσα ὕμνησάν τε καὶ ὑμνοῦσιν ἀεὶ κατὰ πᾶσαν ἡμέραν καὶ ὥραν ἐπὶ πάσης τῆς παραπιπτούσης χρείας, οἱ μὲν ἐν μέλεσι καὶ ᾠδαῖς, οἱ δ' ἐν γράμμασι καὶ μέτροις σοφωτέροις. ἀλλ' οὐδὲν πλέον ἐνδείξασθαι ἐδυνήθησαν ἢ μόνην τὴν τῆς γνώμης ὁρμὴν καὶ ὅπως ἔχει διαθέσεως ἕκαστος πρὸς ἀμοιβὴν ὧν εὐηργέτηται· σταγόνας γὰρ (φησίν) ὑετοῦ καὶ θαλάττης ψάμμον τίς ἀριθμήσει; ἢ τίς σπι|θαμῇ τὸν οὐρανὸν μετρήσει; τὸν f. 112v. οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει κύριος, καὶ ποῖον οἶκον οἰκοδομήσετέ μοι

---

2. ἡλικιώτην M 7. ἤλαυνε τὰ τῆς ἡλικίας M 8. τελευταία ἄγκυρα s. Ps.-Diogen. 5,29 11. βάσου VM (ebenso 33,6) 13. κἀκεῖ τῇ V: καὶ εἰ M 14. στεναγμῶν—καμίνου, vgl. Hist. I 93,14; 142,8; II 984,21 15. τὴν καρδίαν—ἀνεπέμποντο von späterer Hand am Rande M 18. ὑπερβάλον V 20. ἀδυνατοῖς M 23. προσαγάγει M 24. γῆς (ς später durchgestrichen) M 30. σταγόνας—ἀριθμήσει Sirac. 1,2 φησιν am Rande von 2. Hand V 31. τίς—μετρήσει Esai. 40,12 τὸν οὐρανὸν—κύριος Jerem. 23,24 τὸν οὐρανὸν — οἰκοδομήσεταί μοι am Rande von späterer Hand M 32. ποῖον οἶκον—ἀναπαύσεως Esai. 66,1

ἢ τίς μοι τόπος ἀναπαύσεως; σὺ δέ, παρθένε, καὶ ἐδέξω τοῦτον ἐν γαστρὶ καὶ ἀνέπαυσας ἐν ταῖς σαῖς ἀχράντοις ἀγκάλαις. τί τῶν ὄντων ὑψηλότερον οὐρανίων ἀψίδων; ἀλλὰ τὸν τούτων ἀρχιτέκτονα θεὸν γεγέννηκας ὑπὲρ λόγον αὐτή. τί δὲ νοερώτερον ἀσωμάτων ἀγγέλων; ἀλλὰ νοεῖν οὐδ' αὐτοί γε ἰσχύουσι τὸ τοῦ σοῦ τόκου μυστήριον. τί δὲ φαιδρότερον ἡλίου καὶ λαμπρότερον ἐν ἡμέρᾳ, τί δὲ σελήνης καὶ ἀστέρων τερπνότερον ἐν ἀνεφέλῳ νυκτί, ὁπότε καθάπερ σινδὼν ἁπλωθεὶς οὐρανὸς πάντας ἐν ῥυθμῷ καὶ τάξει τοὺς ἀστέρας ἀθροίζει καὶ καθάπερ εὔκυκλος στέφανος λίθων πολυτελῶν καὶ μαργάρων προδείκνυσι πλῆθος καὶ ποικιλίαν; ἀλλὰ τούτων τὴν δόξαν νυκτὸς καὶ ἡμέρας μαραίνει διαδοχή, νῦν μὲν εἰς ἑσπέραν τῆς ἡλιακῆς καταδυομένης λαμπάδος νῦν δ' ἐξ ἑῴας ἀνατρεχούσης καθάπερ ἄλλης ἐκ βάθους φλογὸς καὶ καλυπτούσης μὲν τὸ τῶν ἀστέρων κάλλος φωσφορούσης δ' ἅπασαν κατὰ καιρὸν τὴν κτίσιν. τὸ δὲ σόν, ἁγνὴ κόρη, κλέος ἀμάραντον διαμένει τὸν πάντα αἰῶνα καὶ ἀνθεῖ καὶ τέθηλεν ἀεί, μήτε χειμῶνος βίᾳ νεκρούμενον μήτε θέρους πυρκαϊαῖς τεφρούμενον· ὑμνεῖται μὲν γὰρ ἐν
f. 113 οἴκοις, | ὑμνεῖται δ' ἐν ὄρεσι καὶ σπηλαίοις, ἐν καθέδραις πρεσβυτέρων, ἐν πύλαις πόλεων, ἐν ἠπείρῳ καὶ θαλάσσῃ, ἐν κινδύνοις καὶ ἀνέσεσιν, ἐν θέρει καὶ χειμῶνι, ἐν ἡμέρᾳ καὶ νυκτί· καὶ (ἁπλῶς εἰπεῖν) στοιχεῖα πάντα καὶ χρόνος ἅπας τὴν σὴν ἀθάνατον διασῴζουσι μνήμην καὶ δόξαν. τούτων δ' οὕτως ἐχόντων, τίς γηγενὴς ἄνθρωπος ὢν καὶ ποικίλαις ἔνοχος ἁμαρτίαις ἀξίους προσαγάγοι σοι λόγους ὑπὲρ ὧν ἂν βούλοιτο; ὅμως ἐπειδὴ φιλάνθρωπος μήτηρ εἶ φιλανθρώπου θεοῦ, βλέψον εἰς τοὺς ἀθλίους ἡμᾶς φιλανθρώπως, παραδραμοῦσα πᾶν εἴ τι τοῦ δέοντος ἐκδραμόντες ἡμάρτομεν εἰς τὸν βίον· καὶ δὸς πατέρας γενέσθαι παιδὸς καὶ βλάστην ἐκφῆναι, δι' ἣν ὁ τοῦ γάμου λόγος ἐπινενόηται, ἵνα μὴ πρὸς αἰσχύνην καὶ χλεύην μόνοις ἡμῖν ὁ γάμος εἴη. τίς δ' οὐκ ἂν ἄχθοιτο μένων αὐτὸς ἄγονος, ἔπειτα βλέπων γῆν μὲν ἐκ τῶν οἰκείων ἐγκάτων οἰκεῖα τέκνα καὶ ποικίλα παρεχομένην ἀνὰ πᾶν ἔτος ἐκ τοῦ παντὸς αἰῶνος, κρίνα καὶ χλόην παντοδαπὴν καὶ δένδρων γένη παντοίων ἀνθοῦντα καὶ καρποὺς ἐτησίους τοῖς ἀνθρώποις χαριζόμενα; ἐῶ λέγειν τὴν ποικίλην χροιὰν τῆς βαφῆς τῶν ἀνθέων καὶ τῶν καρπῶν καὶ τὸ τῆς ποιότητος ἐξαλλάττον καὶ περιάγον τὴν αἴσθησιν πρὸς ἑτέραν ἐξ ἑτέρας τέρψιν ἅμα καὶ ἡδονὴν καὶ ὅσα λόγον ὑπερβαίνει καὶ σοφιζομένην διάνοιαν. ὀρνέων δὲ γένη καὶ ἰχθύων καὶ ὅσα τῆς ἀλόγου
f. 113v. φύσεως τὴν μακρὰν οἰκεῖ ἤπειρον, πάντα | πρὸς βλάστην ἐπείγεται καὶ τέρπονται πάντα ταῖς οἰκείαις γοναῖς τε καὶ χάρισι καὶ τέθηλέ τε καὶ χαίρει τὰ πάντα τὸν καρποδότην ὑμνοῦντα θεὸν γλώσσαις ἀφθόγγοις καὶ ἀλαλήτοις φωναῖς καὶ συγκινοῦσι πάντα τινὰ ὅτῳ ἂν ἐντύχωσιν εἰς ὕμνον καὶ θαῦμα, αἴσθησιν πᾶσαν

---

7. ἐρυθμῷ (von 2. Hand ν über ρ) M   11. μὲν τῶν ἀστέρων τὸ κάλλος M
14. βίαν M   15. οἴκοις ἱεροῖς ὑμνεῖτε (von 2. Hand αι über ε) M   δ' ἐν M: δὲ ἐν V
19. ἄνθρωπον (von 2. Hand σ über ν) M   23. ἐκφῆναι (von 2. Hand ύ über ῆ) M
25. γῆν μὲν ἐκ V: τὴν γῆν ἐκ M   26. ἀνὰ παντὸς ἔτος M

ἐμπιπλῶντα δόξης θεοῦ καὶ θεσμοὺς πληροῦντα φύσεως ἀπλανεῖς δι' ὃν γεγόνασιν ἕκαστα λόγον. ὅθεν ὑμνεῖ μὲν γῆ πολύχουν καὶ παμποίκιλον καὶ πολυειδῆ προβαλλομένη τὸν τόκον ὡς ἔφην· ὑμνεῖ δὲ ἀηδὼν ἐν ἔαρος ὥρᾳ διὰ τῆς ἑωθινῆς μουσικῆς τὰς ἐγκαρδίους καὶ φυσικὰς ἐκείνας κιθάρας ἀναπετάσασα καὶ τὰς ἐναρμονίους καὶ πολυφθόγγους ᾠδάς τε καὶ σύριγγας τοὺς νεοσσοὺς ἐκδιδάσκουσα· ὑμνεῖ δὲ καὶ ὕδωρ νῦν μὲν εἰς ῥεύματα ποταμῶν ἐξαπλούμενον νῦν δ' ἐν λίμναις ἱστάμενον· ὑμνεῖ δὲ καὶ κύκλος ἀστέρων, εἰς ἡμέραν καὶ νύκτα τὸν πάντα αἰῶνα διανειμάμενοι. καὶ ἵνα μὴ τοῖς καθ' ἕκαστα διατρίβωμεν, — πάντων ἀποδιδόντων θεῷ τὸν προσήκοντα καὶ δι' ὃν ἐγεγόνεισαν τρόπον, μόνοι καθεστήκαμεν ἡμεῖς τῆς προσηκούσης ἐπιδόσεως ἄμοιροι, δι' ἣν ὁ τοῦ γένους ἐπινενόηται σύνδεσμος. μὴ οὖν ἀπώσῃ δέησιν οἰκτράν, ἡ τοὺς νόμους νικήσασα τῆς φύσεως ἁγνὴ παρθένε τῷ ξένῳ σου τόκῳ, τεκοῦσα θεὸν καὶ λύσασα τὴν ἁμαρτίαν τοῦ τόκου· ἀλλὰ λῦσον καὶ τὰ δεσμὰ τῆς ἡμετέρας στειρώσεως καὶ δὸς ἡμῖν εὐφρανθῆναι διὰ τόκου γνησίου καὶ θιασώτας | γενέσθαι καὶ ἡμᾶς f. 114
τῆς κοινῆς ἑορτῆς τε καὶ πανηγύρεως τῶν ὑμνούντων διὰ τῆς ἐντεῦθεν εὐεργεσίας καὶ χάριτος τὸν καρποδότην θεόν».

8. Ταῦτα δὴ οὖν καὶ πλείω τούτων πολλάκις εὐξάμενοι καὶ διεξελθόντες, τὰς ἐντεῦθεν ἔπνεον χρηστὰς ἐλπίδας, τοῦ ἄγαν ἐφίεσθαι καθάπερ κρηπῖδάς τινας ἀρραγεῖς ὑποβαλλομένου τὰς ἀφορμὰς τοῦ πιστεύειν καὶ ὡς παρὸν ἤδη συνωθοῦντος ὁρᾶν τὸ μήπω γενόμενον. ἐν μιᾷ δὲ τῶν νυκτῶν ἄνθρωπον ἔδοξαν ἰδεῖν ἐκ Βάσσου νεὼ καὶ δεσποίνης ἐλθόντα μηνύειν τὴν τῆς στειρώσεως λύσιν αὐτοῖς. καὶ ἦν τοῦτο προαναφώνησις τῆς πανάγνου θεομήτορος, πρόξενος θυμηδίας ἐκείνοις μακρᾶς, καὶ (ἵν' εἴπω) θεῖός τις χρησμός. οὐ γὰρ ἂν εἴη γρηγοροῦντι καὶ φρονοῦντί τινι τῶν ἀνθρώπων θεόθεν γενέσθαι μέλλοντος δήλωσιν ἀλλ' ἢ κατὰ τοὺς ὕπνους, ἠρεμοῦντος τοῦ τῶν αἰσθητηρίων ὑλικοῦ καὶ συρφετώδους κλύδωνος ἢ πεπονθότος περιτροπήν τινα καὶ ἔκστασιν τοῦ νοῦ. ὑπέστρωσε γὰρ ὁ θεὸς τῷ ἡγεμονικῷ τὸ φανταστικὸν πνεῦμα καθάπερ τι κάτοπτρον ἢ βιβλίον ὑπὸ τοῦ νοῦ θεωρούμενόν τε καὶ ἀναγινωσκόμενον· καὶ ὥσπερ οἱ ἐν ὕδατι κύπτοντες τοὺς ἐν οὐρανῷ θεωροῦσιν ἀστέρας καθαρῶς μὲν καὶ ἀσυγχύτως, ὁπότε καὶ τὸ ὕδωρ ἠρεμοῦν καὶ ἀνεπιθόλωτον εἴη, ὁλοκλήρων ἐμφαινομένων τηνικαῦτα τῶν εἰκόνων ἐκείνων καὶ τύπων· τεθραυσμένως δὲ καὶ ἀσαφῶς, ὁπόταν δήπου καὶ τὸ

---

3. δὲ καὶ M 6. ἐξαντλούμενον V 8. διανειμάμενοι VM (der Plural ist durch ἀστέρων bedingt) es ist wohl ἐνδιατρίβωμεν zu lesen 14. γνησίους hinter θιασώτας, von 1. Hand durchgestrichen V καὶ ἡμᾶς V: ἡμᾶς M 15. τε fehlt M 17. hinter πολλάκις noch ἐλθόντες καὶ πολλάκις M 19. τοῦ (vor πιστεύειν) fehlt V 21. vor ἰδεῖν noch ἐν ὕπνοις M ἐκ Βάσσου νεώ: ἐκ βασιλείων VM 22. θεομήτορος θυμηδίας μακρᾶς ἐκείνοις αἰτία M 26. περιτροπὴν V: ἐνθουσιασμὸν M (ebenso S. 32 Z. 3) 27. κάτωπτρον M ἢ βιβλίον — ὥσπερ später am Rande nachgetragen M βιβλίον ἀναγινωσκόμενον = Scholia in Synesium p. 568,4 Migne 30. ἐμφαινομένων V: ἐναποτιθεμένων und hinter τύπων noch τῷ ὕδατι M

f. 114v. ὕδωρ ἢ συγκεχυμένον καὶ φερόμενον, | — οὕτω δὴ κἀπὶ τοῦ φανταστικοῦ γίνεται πνεύματος· καθαροῦ γὰρ αὐτοῦ γενομένου καὶ ἀποστάντος τῆς ὑλικῆς καὶ ἀχλυώδους κοινωνίας ἢ διὰ περιτροπὴν καὶ ἔκστασίν τινα ἢ τῶν αἰσθητηρίων πεδηθέντων τοῖς ὕπνοις, ὁ νοῦς ἤδη καθαροὺς καὶ ἀσυγχύτους λαμβάνει τῶν μελλόντων τοὺς τύπους ἐκ τοῦ φανταστικοῦ. διὰ δὴ ταῦτα καὶ οἱ τῆς ἁγίας πατέρες οὐ γρηγοροῦντες ἔγνωσαν τὴν τοῦ μέλλοντος δήλωσιν, λέγω δὴ τὴν τῆς στειρώσεως λύσιν αὐτῶν, ἀλλ' ἐν ὕπνῳ καὶ ἠρεμίᾳ μακρᾷ τῶν αἰσθήσεων.

9. Καὶ ἀναστάντες ἕωθεν αὐτοί τε ὑπερβαλλούσης τῆς ἡδονῆς ἐνεπίμπλαντο καὶ τῇ πανάγνῳ μητρὶ τοῦ θεοῦ δαψιλεστέρους ἐκ μέσης τῆς καρδίας τοὺς χαριστηρίους ἀνέπεμπον ὕμνους. ἐκεῖθεν οὐ πολὺς παρέδραμε χρόνος καὶ συνέλαβεν ἡ μήτηρ καὶ τοῦ προσήκοντος παραλλάξαντος χρόνου ἡ τῆς γεννήσεως ἐφέστηκεν ὥρα μετὰ σφοδρῶν τῶν πόνων καὶ θάνατον ἀπειλούντων. ἀλλὰ κληθεῖσα καὶ νῦν ἡ τὴν στείρωσιν λύσασα πρότερον ταύτης ἁγνὴ παρθένος καὶ θεοτόκος, καὶ τοῦ παρόντος κινδύνου ταύτην μετὰ τοῦ βρέφους ἐρρύσατο. καὶ ἦν ἰδεῖν ἐπὶ τούτῳ φίλων καὶ συγγενῶν πανηγύρεις καὶ κρότους καὶ θέατρα γέμοντα ἡδονῆς, καὶ ἐπὶ τούτοις χρημάτων διανομὰς πρὸς τοὺς πένητας καὶ ὕμνους εὐχαριστηρίους πανταχόθεν τῇ πανάγνῳ θεομήτορι ἀναφερομένους. βρα-
f. 115 χεῖαι παρῆλθον ἡμέραι καὶ ἀετὸς καταπτὰς ἀφ' ὑψηλοῦ τοῦ | αἰθέρος ἐφίπτατό τε καὶ περιίπτατο τὴν οἰκίαν, ἐν ᾗ τὸ βρέφος ἐκάθευδε, καὶ διὰ τῆς θυρίδος εἰσιέναι παρὰ τὸ βρέφος προσεποιεῖτο. ὃ τοῖς παρατυχοῦσι θαῦμα καὶ ἔκπληξιν ἐνειργάσατο, καὶ οἰωνός τις ἔδοξεν εἶναι θεῖος τὸ πρᾶγμα καὶ θαυμασίων εὐτυχημάτων προοίμιον.

10. Ἀλλὰ πρὶν ἀπογαλακτισθῆναι τελέως τὸ βρέφος, ἡ μήτηρ ἐξ ἀνθρώπων ἐγένετο μὴ φθάσασα τῆς περιβλέπτου δόξης καὶ τύχης ἀπολαῦσαι τῆς θυγατρός. καὶ ὁ πατὴρ ἀχθόμενος μὲν τῇ χηρείᾳ καὶ τῷ τοῦ βρέφους ἀπρομηθεύτῳ, ἐννοῶν δ' ὅμως καὶ συλλογιζόμενος τὰς ἐπ' αὐτῷ τελουμένας θεοσημείας ἐπτεροῦτο τοῖς λογισμοῖς καὶ πάνυ λαμπρὰς ἐπ' αὐτῇ καὶ μυστικωτέρας αὖθις ἔτρεφε τὰς ἐλπίδας καὶ μικρὸν ἢ οὐδὲν ἐχούσας τὸ ἀμφισβητήσιμον πρὸς τὰ κάλλιστα. ἤδη δὲ καὶ πρὸς μέτρον ἡλικίας ἐληλυθυῖαν τὴν παῖδα καὶ τὸν ἕκτον ἀμείβουσαν χρόνον τοῖς ἱεροῖς ὁ πατὴρ ἐκπαιδεύεσθαι γράμμασι δίδωσιν, ἀφ' ὧν ἐν ὀλίγῳ χρόνῳ πλείστην συνέλεξε τὴν σοφίαν καὶ σύνεσιν, ἐξ ἡμέρας εἰς ἡμέραν ἐπιδιδοῦσά τε καὶ αὔξουσα πρὸς τὰ κρείττω καὶ τελεώτερα βασιλικῷ τῷ πήχει καὶ κραταιουμένη σοφίᾳ καὶ χάριτι θείᾳ. καὶ ἦν ἐν ἅπασι τὸ τῆς κόρης ὄνομα περιβόητον, ἠρέμα βαδίζον καὶ ἄλλην ἐξ ἄλλης ἀκοὴν ἀμεῖβον καὶ παραλλάττον καὶ

---

3. ἀχλυώδους V: ὁμιχλώδους M 9. τῆς fehlt M 10. hinter ὕμνους in V ein kleiner Zwischenraum und am Rande κα^{θ} β′ 23. τελέως fehlt M 29. ἀμείβουσα M 31. σύνεσιν ἡμέραν ἐξ ἡμέρας ἐπιδιδοῦσα M 32. βασ. πήχει = Hist. I 329,2; vgl. Her. 1,178 und Suidas s. v. κατὰ πῆχυν ἐπεδίδου 33. ἐν später am Rande zugeschrieben M

πάσας ὁμοίως χειρούμενον καὶ οἷον ἀδαμαντίνοις | ἄγον καὶ φέρον δεσμοῖς καὶ f. 115v. ῥᾷστα πρὸς τὸ θαυμάζειν ἐγεῖρον καὶ ἀνιστῶν τήν τε εὐφυΐαν καὶ τὴν ἀγχίνοιαν καὶ τὸ τοῦ ἤθους σεμνὸν καὶ τὴν ἐν ἁπαλῇ τῇ ἡλικίᾳ πρεσβυτικὴν σύνεσιν.

11. Χρείας δέ ποτε καταστάσης ἐβάδιζε παρὰ λουτρὸν ὁμοῦ ταῖς θεραπαινίσιν ὀλίγῳ πρότερον ἢ κατὰ μεσημβρίαν εἶναι τὸν ἥλιον· ἐβάδιζε δὲ διὰ τοῦ ἐν τοῖς Βάσσου νεὼ τῆς πανάγνου θεομήτορος. καὶ τηνικαῦτα ὑετὸς ἄνωθεν ἐξαίφνης κατερράγη ῥαγδαῖος, ὡς μήτε πρόσω μήτ' ὀπίσω δύνασθαι πορεύεσθαι, ἀλλ' ἀνάγκην εἶναι τοῦ νεὼ γενομένην ἐντὸς περιμεῖναι, μέχρις ἂν εἰς εὐδίαν τὸ τοῦ ἀέρος κατάστημα γένηται. ἡ δὴ καὶ εἰσιοῦσα καὶ τὴν ὀφειλομένην τῇ θεομήτορι προσκύνησιν ἀποδοῦσα καὶ μικρὸν εἰς γόνυ κλιθεῖσα πρὸς ὕπνον ἐτράπη, ἐν ᾧ καὶ ὁρᾶν ἐδόκει βασιλικῶς καὶ κοσμίως ἐσταλμένην γυναῖκα τῇ θεραπαίνῃ κελεύουσαν, ἔλαιον ἐκ τῆς ἔμπροσθεν ἀπῃωρημένης φωταγωγοῦ λαβοῦσαν ἐπιμελῶς ἀλείφειν αὐτὴν ἀπὸ κεφαλῆς ἀρξαμένην ἅπαν τὸ σῶμα πορφυροῦν τε περιβαλεῖν ἱμάτιον καὶ ἅμα βασιλικὴν ἐπιθεῖναι καλύπτραν· καὶ ἐπὶ τούτοις φῶς περιαστράψαι ξένον αὐτήν τε καὶ ὅλον τὸν ἱερὸν οἶκον ἐκεῖνον. ἀφυπνισθείσης δ' ἐπὶ τούτῳ τῆς παιδὸς καὶ τὸν θεῖον ταῖς θεραπαινίσιν ἐξηγησαμένης ὄνειρον οὐκέτι πρὸς τὸ λουτρὸν ἐνομίζετο | δεῖν ἀπιέναι· λελοῦσθαι γὰρ αὐτὴν ἤδη f. 116 λουτρῷ θειοτέρῳ καὶ μυστικῷ. ὅθεν, εἰς αἰθρίαν ἀπαλλαγέντος καὶ τοῦ ἀέρος εὐθύς, οἴκαδε λαβοῦσαι ταύτην ἀπῄεσαν. διὰ γὰρ αὐτὴν ὡς ἔοικε μεταβέβληκεν ὁ θεὸς ἐξαπίνης καὶ τὴν τῶν στοιχείων κατάστασιν καὶ ἐκ μὲν αἰθρίας λαύρου πεπλήρωκεν ὑετοῦ τὸν ἀέρα, ἐκ δ' ὑετοῦ πρὸς αἰθρίαν αὖθις μετήνεγκεν. ὁ μέντοι πατὴρ ἀκούων ἐν ἐκπλήξει μεγάλῃ καθίστατο καὶ ἅμα πᾶσιν, ὅσοις τοῦ συμβάντος αὐτηκόους συνέβη γενέσθαι, πολύς τε καὶ μακρὸς ὁ κρότος ἐρράγη τοῦ θαύματος καὶ μεγάλων εὐτυχημάτων ἀρχαὶ τοῖς πᾶσιν οὐ μόνον τά γε τοιαῦτα ἐνύπνια ἐνομίζοντο ἀλλὰ καὶ ὅσα πρὸ τούτων συνέβη θεόθεν σημεῖα.

12. Ἄρτι δὲ πεντεκαιδέκατον ἄγουσα χρόνον, ὁπότε δὴ μάλιστα τὰ τῆς οἰκείας ἀνθοῦσι γνωρίσματα γνώμης καὶ προαιρέσεως, ὅλας ἡ κόρη τὰς ῥοπὰς τῆς ψυχῆς εἰς τὴν τῶν βελτιόνων μοῖραν ταλαντεύει πραγμάτων καὶ τὴν τῆς γνώμης αἵρεσιν πρὸς τὴν τῶν ἀγαθῶν ἕξεων ἄσκησιν εὐθὺς ἐν προοιμίοις τῆς ἡλικίας κινεῖ· οὐ γὰρ ἡδοναῖς ἐσπένδετο καὶ βλακείᾳ σωματικῇ, ἀλλ' ἁγνείᾳ καὶ σωφροσύνῃ τὸ ἦθος ἐκόσμει καὶ γαστρὸς ἐγκρατείᾳ τὸν τῦφον ἐπαιδαγώγει τῆς τύχης· καὶ τὸν μὲν πλοῦτον εἰς πενήτων ἐθησαύριζε κόλπους, αὐτὴ δ' ἀγρυπνίᾳ καὶ θείων μελέτῃ λογίων ἐσχόλαζεν ὅλῃ σπουδῇ καὶ προθέσει ψυχῆς. θυμοῦ κινήσεσιν αὐτονόμοις | καὶ ὀξυρρόποις οὔτε χεὶρ αὐτῇ ποτε οὔτε γλῶττα διηκο- f. 116v. νήσατο προπετής, ἀλλ' ἐν αὐτοῖς εὐθὺς ἀναιροῦσα τοῖς λογισμοῖς διετέλει τὰς

---

2. εὐφυΐαν M εὐφημίαν V (die Accus. hängen von θαυμάζειν ab) 8. εἰς fehlt M 14. περιβάλλειν V ἐπιθῆναι M 20. λάβρου M 23. γενέσθαι συνέβη M ἐρρήγνυτο M 27. κόρη πρὸς τὰς M 30. βλακία M. 33. θυμοῦ — βλάστης = Hist. III 239, 17—21

ῥίζας ἐντὸς πρὸ τῆς βλάστης. ὥσπερ δ' αὖ ἱερωσύνῃ τῇ ἀληθείᾳ τὴν γλῶτταν τιμήσασα, ἀκάματον ἔστησε φύλακα τὴν τῶν χειλέων ἀκρόπολιν, ὡς μὴ λάθῃ προκύψας ὀψέ ποτε λόγος μάλα μέν τις ἐπαγγελτικὸς οὐ μάλα δέ γε τελεσιουργός.

13. Ταύτῃ τοι καὶ πολλοὶ τῶν ἐφήβων πατέρες γένους καὶ πλούτου προβαλλόμενοι κράτος καὶ περιφάνειαν πρὸς ἀλλήλους ἡμιλλῶντο κήδους εἵνεκα τῆς κόρης καὶ ἦν ἀγὼν οὐ μικρὸς τῷ ταύτης πατρὶ προσιόντων καὶ ἀπιόντων αὐτῶν· ἐξέπληττε γὰρ οὐ μόνον τὸ κλέος τῆς ἀρετῆς ἀλλὰ καὶ τὸ τῆς ὄψεως καὶ ἡλικίας κάλλος τῆς κόρης ἅπασαν ἀκοὴν διὰ πάσης πορευόμενα γλώττης. ἡ δὲ φήμη ῥυεῖσα σφοδρότερον καὶ τὰς τῶν αὐτοκρατόρων ἐνέπλησεν ἀκοὰς τοῦ θαύματος. Βασίλειος δ' οὗτος ἦν ὁ Μακεδὼν καὶ ἡ σύζυγος Εὐδοκία καὶ παῖς ἐτρέφετο βασιλικῶς αὐτοῖς ὁ σοφώτατος Λέων, ἄρτι τὸν πρῶτον ἀνθῶν ἴουλον καὶ γαμηλίων ἐρώτων ἄγων ὥραν. δι' ὃν καὶ ἠθροίζοντο μὲν ἐκ παντὸς ἔθνους, ἠθροίζοντο δ' ἐξ ἁπάσης πόλεως, ὁπόσαι κατ' ἐκλογὴν ὥρᾳ καὶ κάλλει σώματος διαφέρουσαι ἦσαν νεάνιδες. ὧν ἐν μέσῳ τῷ καταλόγῳ γενέσθαι κληθεῖσα καὶ ἡ Θεοφανὼ f. 117 τοσούτῳ πάσας παρήλασεν ἄνθει προσώπου καὶ ἡλικίας | ὥρᾳ καὶ ἤθους εὐπρεπείᾳ, ὅσῳ καὶ πλησιφαὴς πανσέληνος πάντας τοὺς ἐν νυκτὶ φαινομένους ἀστέρας. οὐ γὰρ βαβυλώνιος ἔβαπτε κόχλος τὰς παρειὰς οὐδὲ νόθοι τινὲς ὀφθαλμῶν καὶ ὀφρύων ὑπογραφαὶ τὴν εὐμορφίαν ὕφαινον τοῦ προσώπου οὐδὲ βαδίσματος ἐπιτήδευσις καὶ βλέμματος χλιδῶσα θρύψις ἐκόσμει τὴν ὥραν, ἀλλὰ συμφυῆ καὶ ἀσχημάτιστα πάντα προσῆν ἐκείνῃ τὰ κάλλιστα, προσώπου στάσις εὐπρεπής, βλέμματος χάρις λαμπρὰν τὴν αὐγὴν ἀποστίλβουσα, μειδίαμα σεμνόν, ἔρευθος αὐτοβαφὲς ἠρέμα ἐφέρπον τὰς παρειὰς καὶ κιρνώμενον εὐφυῶς τῷ ἀνθοῦντι λευκῷ καὶ τὸν θεατὴν ἐκπλῆττον ὀφθαλμόν· τούς γε μὴν βλεφάρων καὶ ῥινὸς καὶ τῶν ὀφρύων κανόνας μονονοὺ γραμμικαῖς ἰσότησιν ἡ γεωμέτρις ἐσταθμήσατο φύσις· καὶ (συνελόντι φάναι) τὸ ὅλον ἦν αὐτοφυές τι χρῆμα κάλλους ἐξαίσιον καὶ οἷον τὸ τῆς σελήνης καὶ τῶν ἀστέρων καὶ τὸ τῆς ἡλιακῆς αὐγῆς ἡ φύσις οἴκοθεν ἐμηχανήσατο.

14. Διὰ δὴ τοῦτο καὶ πρὸς γάμου κοινωνίαν αὕτη τῶν ἄλλων προυκρίθη πασῶν Λέοντι τῷ νέῳ βασιλεῖ· καὶ βασιλικοῖς παρασήμοις κοσμεῖται λοιπὸν ἡ Θεοφανὼ καὶ συμβασιλεύει τῷ ὁμοζύγῳ Λέοντι καὶ γίνεται κοινὴ τοῖς ὑπηκόοις ἡδονῆς ἑορτὴ καὶ χρηστῶν ἐλπίδων πανήγυρις. φρονήσεως γὰρ καὶ σοφίας βασιλευούσης, εὐδαιμονίας ἐλπίδες τά τε πράγματα καὶ τὰς πόλεις σαφῶς ἐπιπνέου- f. 117 v. σιν· | ὃ γὰρ ἐν σώματι ψυχή, τοῦτ' ἐν τοῖς πράγμασι φρόνησις· διὰ δὴ τοῦτο καὶ Πλάτων, ἡ τῆς Ἑλλάδος μεγάλη φωνή, τὸ τῆς φρονήσεως καὶ σοφίας ἐξαί-

1. ὥσπερ—τελεσιουργός = Hist. III 239, 25—240,3 12. αὐτοῖς βασιλικῶς M ἄρτι—ἴουλον = Hist. II 673,3 18. ἔβλαπτε M νόθοι, vgl. Hist. I 86,21 τὴν νόθον πατρίδα 30. νέῳ fehlt M 35. πλάτων (de rep. V 473 C)—φωνή = Florentius 521, 31 Jahn

ρων ἀγαθόν, τότ' ἂν ἄριστα διοικεῖσθαι τὰς πόλεις ἔφασκεν, ὅταν ἢ φιλόσοφοι βασιλεύσωσιν ἢ βασιλεῖς φιλοσοφήσωσιν. ὅπερ δὴ καλῶς ποιοῦν ἐπ' ἀμφοτέρων τουτωνὶ τῶν βασιλέων συνέδραμε κράτιστα. τοῦ δὲ χρόνου ῥέοντος, οὐκ ἠνέσχετο βλέπειν ὁ τῆς βασκανίας πατὴρ διάβολος οὕτω ψυχῆς ἀρεταῖς καὶ σώματος κάλλεσι διαλάμπουσαν ἐν βασιλείοις οἴκοις τὴν κρατίστην ἐκείνην καὶ ἄριστα ἡρμοσμένην συζυγίαν, ἀλλ' ὀργάνῳ χρησάμενος κακομηχάνῳ καὶ τὴν γνώμην διεφθορότι μονάζοντί τινι ὄνομα Σανταβαρηνῷ, πείθει λόγοις τισὶ πιθανῶς ἐσκευασμένοις περιελθεῖν καὶ διαφθεῖραι τὴν τοῦ βασιλέως γνώμην κατὰ τοῦ υἱοῦ Λέοντος.

15. Τίς δ' ἦν οὗτος ὁ Σανταβαρηνὸς καὶ ὁπόθεν εἰς τὰς αὐτοκρατορικὰς οἰκίας παρεισεφθάρη, μικρὸν ἀναλαβόντες τὸν λόγον διέξιμεν. Κωνσταντῖνον τὸν δεύτερον υἱὸν τοῦ αὐτοκράτορος Βασιλείου [39]) πρὸ βραχέος συνέβη τεθνάναι· καὶ ἦν ἀπολεγόμενος τὸ ζῆν ὁ πατὴρ διὰ τὴν ἐκείνου ζημίαν καὶ δεόμενος ἀνάψυξιν εἰληφέναι τινὰ καὶ σβεστήριον τῆς ἐγκαρδίου φλογός. ὅθεν ἱεροὺς ἄνδρας ἐκάλει πρὸς συμμαχίαν τοῦ πάθους καὶ σαφεῖς θεοῦ λατρευτὰς ἐντυχεῖν ὑπὲρ αὐτοῦ δι' εὐχῶν τῷ θεῷ, εἰ μὴ ἄλλως γέ πως, διὰ γοῦν | ὀνείρων καὶ ἐνυπνίων τινῶν f. 118 τῆς τοῦ παιδὸς ὁμιλίας τυχεῖν· γίνονται γὰρ καὶ ὄνειροι πολλάκις ψυχοπομποί τινες προμηθεῖς, πλάττοντες ἐν τῷ φανταστικῷ τῶν καθευδόντων εἴδωλα καὶ τύπους δή τινας τῶν τεθνεώτων, καὶ ἀναζωπυροῦσιν ὅπως ποτὲ τοῦ κάμνοντος τὴν ψυχὴν ὥσπερ παίζοντες αὐτὸν καὶ ὑποσαίνοντες τοῖς κολακεύουσι φάσμασι. τότε τοίνυν ἐν ἀφανείᾳ διάγων καὶ μοναδικὸν τριβώνιον περικείμενος ὁ Σανταβαρηνὸς πρόσεισι τῷ αὐτοκράτορι Βασιλείῳ, ἦθος πλασάμενος εὐλαβές τι καὶ ἔνθεον, καὶ δείξειν ὑπισχνεῖται τὸν υἱὸν αὐτῷ Κωνσταντῖνον καὶ ὁμιλῆσαι μέχρι καὶ ἐς πολλοστημόριον ὥρας· καὶ τό γε μεῖζον, οὐκ ἐν ὕπνῳ καὶ κλίνῃ κειμένου τοῦ βασιλικοῦ σώματος, ἀλλὰ γρηγοροῦντος καὶ ἱσταμένου καὶ βλέποντός τε ὁμοῦ καὶ ἀκούοντος. τὸ γὰρ γένος Αἰγύπτιος ὢν καὶ μάγοις ἐκεῖ που χρησάμενος διδασκάλοις, νεκυομαντείαν τε καὶ ψυχοπομπίαν ἐκεῖθεν ἐμεμαθήκει, ἣ δοκεῖ μὲν ἐξ ᾅδου ψυχὰς ἀνάγειν εἰς φῶς δι' ἐπῳδῶν τινων καὶ ἀφορκισμῶν. φαίνονται γὰρ καὶ ἀποκρίνονται περὶ ὧν ἄν τις ἐρωτᾶν βούλοιτο μορφαί τινες τεθνεώτων γνωρίμων· εἰσὶ δὲ τὰ φαινόμενα οὐ ψυχαὶ ἀλλὰ χθόνιοί τινες καὶ ὑποχθόνιοι δαίμονες. τῇ δὴ τοιαύτῃ κακοτεχνίᾳ κἀνταῦθα χρησάμενος ὁ ἀλιτήριος, ὅπερ πάλαι τῷ Σαοὺλ ἡ ἐγγαστρίμυθος πέπραχεν ἀναγαγοῦσα τὸ τοῦ Σαμουὴλ ὁμοίωμα, τοῦτο καὶ αὐτὸς ἤδη τεχνάζεται· καὶ πρὸς τὴν τοῦ Κωνσταντίνου | διασκευασθῆ- f. 118v. ναι μορφὴν παρασκευάζει τινὰ τῶν αὐτοῦ γε ὁμιλητῶν ὑποχθονίων δαιμόνων.

---

6. ἡρμομένην M 7. σαβανταρηνῶ M 17. γίνεται M 19. ὅπως ποτὲ (indefin.) = Hist. II 637,6; Flor. 510,27 κάμνον (τος am Rande von 2. Hand) M 22. πεπλασμένος M 24. καὶ τό γε μεῖζον — ἀκούοντος fehlt M 28. ψυχὰς ἀνάγειν — δαίμονες = Scholia in Synes. p. 616, 7—10 Migne 31. χρησάμενος κἀκεῖνος ὁ M 32. σαοὺλ V (vgl. I Reg. 28,7 ff.): σαμουὴλ M 33. τοῦ fehlt V

τοῦτον ἰδὼν καὶ ὁμιλήσας ὁ αὐτοκράτωρ καὶ τῆς ἀπάτης οὐκ αἰσθόμενος, ἔδοξεν αὐτὸν ἰδεῖν φανερῶς τὸν υἱόν· καὶ θεῖον ἄνδρα λοιπὸν ἐνόμισεν εἶναι τὸν Σανταβαρηνὸν καὶ διὰ μεγάλης ἦγε τοῦτον τιμῆς καὶ αἰδοῦς.

16. Τῷ γε μὴν Λέοντι τῷ νέῳ βασιλεῖ, σοφῷ γε ὄντι ἀνδρὶ καὶ συννενοηκότι μὴ ἀπὸ θείας εἶναι μοίρας τὸ γεγονὸς ἀλλ' ἐκ σατανικῆς τινος βακχείας καὶ δαιμονιώδους ἐνθουσιασμοῦ, μέμφεσθαί τε ἐπῄει καὶ χλευάζειν αὐτὸν ἐπὶ τοῦ αὐτοκράτορος Βασιλείου καὶ περιφανῶς πανταχοῦ διαλοιδορεῖσθαι καὶ ἀλάστορα τῆς ἀληθείας ἀποκαλεῖν καὶ θιασώτην δαιμόνων ἀπατηλῶν. ἀλλ' ἐκεῖνος πρὸς ταῦτα ὑβριοπαθῶν ἐμεμήνει (τὸ κάθαρμα!) καὶ ῥάπτει διαβολὰς καὶ δόλους κατὰ Λέοντος πιθανὰς καὶ Ἐριννύων μεστάς· καὶ γίνεται προδότης ἀνδρὸς ἀνευθύνου καὶ ὑπελθὼν πείθει τὸν αὐτοκράτορα λέγων ὡς· «Ἐπιβουλεύει σοι Λέων ὁ σὸς υἱὸς ἀχθόμενος τῇ πολυετίᾳ καὶ ξίφη καὶ λόγους συσκευάζει [40]) κατὰ τῆς σῆς κεφαλῆς». ταύτῃ τοι καὶ εἱρκτῇ παραπέμπεται ὁ μηδὲν ἀδικήσας Λέων, πρὶν εἰς ἔλεγχον ἐληλυθέναι καὶ δικαστήρια καὶ πρὶν εἰδέναι τῆς καταδίκης τὰ αἴτια.

17. Ἡ δὲ καλὴ σύζυγος ἐκείνη Θεοφανὼ καὶ θυγάτριον ἔχουσα ἐκ τοῦ Λέοντος ἤδη καὶ ἀχθομένη τῷ χωρισμῷ, οὐ δίκαιον ἔκρινε, τοῦ ἀνδρὸς ἐν δεσμωτηρίῳ ῥιφέντος, αὐτὴν ἐλεύθερον βλέπειν τὸν ἥλιον, ἀλλὰ κοινωνὸν τὸν
f. 119 ὁμό|ζυγον ἔχειν ἐβούλετο καθάπερ τῆς εὐδαιμονίας οὕτω δὴ καὶ τῶν ἀδίκων δεσμῶν· καὶ μίαν τοῦ πάθους γενέσθαι στήλην ἐζήτει τὸ δεσμωτήριον καὶ κοινὸν καταστῆναι τάφον δυοῖν σωμάτων, εἰς μίαν κραθέντων φύσιν καινῇ τινι καὶ ξένῃ ξυνθήκῃ καὶ ἁρμονίᾳ. «Βελτίω γὰρ (ἔλεγεν) ἐμοὶ τῆς πορφύρας καὶ τῶν βασιλικῶν λαμπάδων τὰ τοῦ συζύγου δεσμὰ καὶ ὁ ἀτέκμαρτος ζόφος ἐκεῖνος, καὶ στρωμνῆς ἀνθηρᾶς ἡ ἐκεῖ χαμευνία, καὶ τραπέζης πολυτελοῦς ἡ ἀπαράκλητος ἀσιτία. τίς γὰρ ἂν διελεῖν δυνηθείη μίαν ψυχὴν ἐν δυσὶ πνέουσαν σώμασιν ἢ τίς διαστήσειεν οὓς ἥνωσε κύριος;» τοῦ μέντοι βασιλέως συγκεχωρηκότος τὴν εἴσοδον μετὰ πολλοὺς τοὺς αὐτῆς κοπετούς, εἰσῄει καὶ αὕτη μετὰ τῆς θυγατρὸς πρὸς τὸν ὁμόζυγον Λέοντα· καὶ μεστὸν ἀθυμίας ἐκεῖνον εὑρίσκει καὶ ὅλον βεβυθισμένον τῷ πάθει καὶ τἆλλα μὲν ὄντα σοφὸν καὶ γενναῖον, νῦν ⟨δὲ⟩ πρὸς τὸ τῆς συμφορᾶς παράλογον ὅλον ἤδη προδεδωκότα τὸ φρόνημα καὶ τοιαῦτά τινα διεξιόντα ῥήματα· «Ὡς ἀπόλοιτο (φησίν) ἡ ἡμέρα, ἐν ᾗ ἐγεννήθην, καὶ ἡ ὥρα, ἐν ᾗ τὸ βασίλειον ἐγκεχείρισμαι σκῆπτρον. ὢ τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ καὶ πηγὰς δακρύων τοῖς ἐμοῖς ὀφθαλμοῖς; ὢ τίς ἀξία φωνῇ γῇ τε καὶ ἡλίῳ καὶ ἄστρασι τὴν ἀδικίαν ἀναβοήσει; ὢ τίς ἐν βραχεῖ μοι τῆς μεγάλης τύχης ἐφθό-
f. 119v. νησε δαίμων; βέλος ἐνεπάγη μου τῇ καρδίᾳ καὶ τὸν τοξότην οὐχ ὁρῶ· | πῦρ μοι

2. φανερῶς fehlt M 5. καὶ fehlt M 10. ἀνευθήνου M 12. ξίφει M 14. ἐλέγχους M τοῖς καταδίκης V 17. ἐλεύθερον ἥλιον, vgl. Hist. II 799, 22 ἀλλὰ κοινὸν M 24. τίς δ' ἂν M 25. τοῦ μὲν βασ. M 30. ὡς ἀπόλοιτο—ἐγεννήθην Job 3,3 31. ἐγκεχείρημαι M τίς δώσει—ὀφθαλμοῖς Jerem. 9,1 vgl. Hist. I 471,13 32. ὢ τίς ἀξία—ἄστρασι = Hist. I 561,15 34. ἐνεπαπάγη M

τὰς τῶν σπλάγχνων τρίβους ἐπιβόσκεται καὶ τὸν πυρφόρον οὐ συννοῶ· μηχαναὶ πονηραὶ διορύττουσι καὶ συγκλονοῦσι τῆς ἐμῆς ψυχῆς τὴν ἀκρόπολιν καὶ ὁ πολέμιος ἀφανής. ἀλλὰ τίς ὑετὸς κατασβέσει μοι τῶν ἀδίκων συμφορῶν τὰς καμίνους; τίς μοι ζέφυρος κοιμίσει τὰ τῆς λύπης κύματα, καὶ θυμηδίας τινὸς ἐπιπνεύσει γαλήνην; ὢ τίς ἀγχόνη θανάτου ταχεῖα τὸν ταλαίπωρον ἀπαλλάξει μου βίον; ἡλίου πολλάκις αὐγὰς καὶ σελήνης ἀντιφράττουσιν ἔνια τῶν νεφῶν ὑπελθόντα· ἀλλ' ἀποτρέχουσιν αὖθις, καὶ βλέπει τοὺς φωστῆρας ἡ κτίσις· ἐμὲ δὲ τίς ποτε τουτωνὶ τῶν σκοτεινῶν ἀπαγάγοι θαλάμων, τοῦ ψεύδους οὕτω δεινῶς κατοργησαμένου τῆς πατρικῆς ψυχῆς καὶ δριμείας οὕτω καὶ ἀπαραιτήτου γενομένης τῆς καταδίκης; εἴθε τὴν φύσιν ἠλλαξάμην εἰς λίθον, εἰς σίδηρον, εἰς ἓν ὁποιονοῦν τῶν ἀψύχων, ἵνα στήλη τοῦ πάθους ἀναίσθητος ὢν παρατρέχω σιγῇ τῆς ψυχῆς μου τὰς μακρὰς ἀλγηδόνας».

18. Ἡ δὲ θαυμασία Θεοφανὼ παρακαθημένη καὶ ἀκούουσα καὶ δακρύουσα καὶ μηκέτι φέρειν δυναμένη, πρὸς παραινέσεις ἔβλεψε. τἄλλα γὰρ οὖσα γυνή, ἐνταῦθα κατὰ καιρὸν ἐφάνη καὶ τοῦ ἀνδρὸς στερροτέρα πρὸς τὴν τῶν ἐνεστώτων δεινῶν καρτερίαν, οἶμαι, τοῦ θεοῦ τὴν αὐτῆς παραθήξαντος καὶ γλῶτταν ὁμοῦ καὶ διάνοιαν, ἵνα μὴ καὶ ἀμφοτέρων | εἰς ὁλοσχερῆ πεπτωκότων δάκρυα θάνατος ἐξ ἀνάγκης ἀκολουθήσῃ τῇ φύσει, μηδενὸς ἑτέρου τῶν ἁπάντων ἐν ἐρημίᾳ καὶ δεσμωτηρίῳ παρόντος, ὃς ἂν παρήγορος ὀφθεὶς ἐπιρρώσῃ καὶ ἀναστήσῃ πεπτωκότα φρονήματα. ὅθεν κἀκ προοιμίων εὐθὺς τοιάδε φησίν· «Ἐμὲ δὴ καὶ σιωπᾶν βουλομένην διὰ τὸ μὴ χρῆναι γυναῖκα πρὸς ἄνδρα παρρησιάζεσθαι, τὸ τοῦ Ἱερεμίου πάσχειν ἀκολουθεῖ· ὑπὸ γὰρ δειλίας τινὸς κἀκείνου μὴ βουλομένου λαλεῖν τῷ λαῷ τὰς μυστικὰς τοῦ θεοῦ προφητείας, πῦρ ἐν τοῖς ἐγκάτοις ἐγένετο καὶ παρεῖτο πάντοθεν καὶ φέρειν οὐκ ἐδύνατο. τοῦτο ἐκεῖνο πάσχειν δοκῶ καὶ αὐτή· καὶ σιωπᾶν βουλομένης, οἱονεί τινες κρατῆρες μεγάλου πυρὸς ἀναβράττουσιν ἐκ τῶν ἐμῶν ἐγκάτων καὶ συχνὰ ἐπιβόσκονταί μου τὰ σπλάγχνα καὶ δεινῶς ἐμπιπρῶσί μου τὴν καρδίαν καὶ παραλέλυμαι πάντοθεν καὶ φέρειν ὅλως οὐ δύναμαι. φθέγξομαι τοίνυν βραχέα πρὸς σὲ τὸν ἐμὸν γλυκύτατον ἥλιον, πρὸς σὲ τὸ φῶς τῶν ἐμῶν ὀφθαλμῶν. σὺ δ' ἀκούων ἀνέχου φλεγομένης ψυχῆς ῥήματα. τὸ μὲν λυπεῖσθαί σε, πάσχοντα παρὰ τὸν τοῦ δικαίου λόγον καὶ χωρὶς ἁπάσης αἰτίας, οὐδεὶς ἂν ἔχοι σοι μέμφεσθαι· ἐν γὰρ πορφύρᾳ φύντα καὶ θαλάμοις βασιλείοις καὶ τρυφῇ καὶ βλακείᾳ συναυξηθέντα καὶ πεῖραν μηδενὸς | εἰληφότα δεινοῦ πρὸς τοιαύτην ἐξαίφνης κατενεχθῆναι συμφοράν, καὶ ταύτην ἀγνώμονά τε καὶ ἄδικον, λυπεῖσθαι ἀνάγκη. ἀλλὰ πολλῷ γε δήπου δικαιότερον καὶ

(f. 120 ; f. 120 v.)

8. σκοτινῶν M ἀπαγάγῃ V 12. ἀλγιδόνας M 20. δὲ M 22. ἀκολουθεῖν V Jerem. 20,9 25. ἀναβράσσουσιν (mit übergeschriebenem ττ) V: ἀναβλάπτουσιν M 30. πάσχον (τα von 2. Hand nachgetragen) 32. βλακία M 33. κατεχθῆναι V

ἀναγκαιότερον μετριαζούσῃ κεχρῆσθαι τῇ λύπῃ, ἀναμιμνησκόμενον παλαιῶν τε καὶ νέων κατὰ τὸ παραπλήσιον γενομένων πραγμάτων· τί γὰρ τῶν ὄντων καὶ γινομένων ἔμεινεν ἄλυπον καὶ δεινοῦ παντὸς ἄκρατον; ποῖος χρόνος οὐ τῆς τοιαύτης τραγῳδίας ἐκτήσατο σύνταξιν; τίς ἔνδοξος, τίς βασιλεὺς οὐ τύχης νεωτεριζούσης πεπείραται; ποῖος βίος, ποία πόλις οὐ τοιούτων γέμει δραμάτων; ἢ γὰρ οὐ μεθίσταται πάντα καὶ τὴν φύσιν ἐπὶ συχνὸν ἐξαλλάττει, τῆς προνοίας οὕτω πανσόφως οἰκονομούσης; οὐχ ὑποχωρεῖ νυκτὶ μὲν ἥλιος, ἡλίῳ δὲ νύξ; ἔαρ τε καὶ θέρος καὶ χειμὼν οὐχ ὁμοίως ἀλλήλοις ὑπεξίστανται τῆς τοῦ κράτους διαδοχῆς ἠρέμα καὶ κατὰ μικρὸν χωρὶς θορύβου καὶ πρὸς μάχην ἔριδος; θαυμαστοὶ (φησίν) οἱ μετεωρισμοὶ τῆς θαλάσσης καὶ ὁ θυμὸς αὐτῆς φοβερός τε καὶ ἄμαχος, καὶ μάλιστα ὅταν ὑβριστὴς καὶ ἀγέρωχος ἄνεμος ἄνωθέν ποθεν καταρραγεὶς ἐξ ἀρχῶν ἀρκτικῶν συγκυκᾷ καὶ ἀναμοχλεύῃ τὰ κύματα καὶ ἀπειλῇ κατὰ τῆς ἠπείρου πόλεμον προφανῆ. ἀλλ' ἐπειδὰν ἀκούσῃ τῆς φωνῆς τῆς παραλίου ψάμμου, χείλεσιν ἀφθόγγοις ἀναγινωσκούσης τοὺς κανόνας τοῦ κτίσαντος ἀνα-
f. 121 σοβοῦντας | καὶ ἀποτρεπομένους τὸ γαῦρον ἐκεῖνο καὶ μετέωρον ἐκείνης φρόνημα, εὐθὺς ἀναχωρεῖ δειλιῶσα θεοῦ προστάγματα καὶ ἀναχαιτίζουσα παύει θρασυνόμενον ῥόθιον. μαθεῖν σε βούλεται ὁ θεὸς φύσεως νόμους αὐτοδιδάκτους, ὅτι δυσχερῶν ὁ βίος ἐμπέπλησται καὶ γενεὰ ἔρχεται καὶ γενεὰ πορεύεται τὸν ἄστατον δρόμον τῆς κάτω ζωῆς καὶ μόνιμον οὐδὲν ἐντεῦθεν οὐδὲ σύμφωνον. ἀλλὰ νῦν μὲν Ἄραβες δουλεύουσι Πέρσαις, νῦν δὲ τοῖς Ἄραψι Πέρσαι καὶ νῦν μὲν Σαυρομάται κατατρέχουσι Μασσαγέτας, νῦν δὲ Μασσαγέται Σαυρομάτας· καὶ νῦν μὲν ὁ πλούσιος πένης, νῦν δ' ὁ πένης ἔνδοξος καὶ περίβλεπτος· καὶ χθὲς μὲν ὁ βασιλεὺς ἀφανής, σήμερον δὲ βασιλεὺς ὁ δεσμώτης·[41]) ὥστε σε χρεὼν οὐκ ἀπογινώσκειν οὐδ' ἀνέλπιστον τὴν ἐντεῦθεν ἐλευθερίαν ἡγεῖσθαι, ἀλλὰ θαρρεῖν ὁμοίως καὶ σὲ καὶ χρηστοτέραις ἐλπίσιν ἀποξέειν τὰς τῆς ψυχῆς ἀλγηδόνας. ἀνάδραμε τῇ μνήμῃ πρὸς Ἰωσὴφ τὸν καλὸν τὸν τοῦ Ἰακώβ, ὃς πλειόνων ἢ κατὰ σὲ πειραθεὶς τῶν δεινῶν ἀπροσδοκήτως ἔτυχεν ἀγαθῶν τῶν μεγίστων· ἀναμνήσθητι τοῦ Ἰὼβ ἐκείνου, ὃς μετὰ τὴν βαρεῖαν καὶ δυσκαρτέρητον ἐκείνην πληγὴν εὗρε πλείω τῶν ἐλπίδων τὰ ἀγαθά. ποῦ γὰρ ἴσμεν, εἰ καὶ σὲ προγυμνάζει θεὸς ἄκοντα, ἵνα ἑκὼν γίνῃ χρηστὸς καὶ μεθαρμόζῃς σου τὸν θυμὸν εἰς τὸ πρᾶον,
f. 121 v. ὅταν ἐς | τοὺς τῆς αὐτοκρατορίας ἴσως ἀνέλθῃς θρόνους; ὥσπερ γὰρ τοὺς ἀθλητὰς οἱ γυμνασταὶ καὶ τοὺς ὁπλίτας οἱ στρατηγοὶ πρὸς τὰ κάλλιστα τῶν πραγμάτων εὐφυῶς προγυμνάζουσιν, οὕτω καὶ οὓς ἂν ὁ θεὸς ἀνάγειν ἐθέλοι πρὸς μειζόνων πραγμάτων ἐπιστασίαν, δοκιμωτέρους ποιεῖ προγυμνάζων διὰ μικρῶν τινων περιστάσεων. πόσης δ' ἂν εἴη τοῦτο τιμῆς τε καὶ δόξης θεὸν μὲν ἔχειν

---

3. τῆς fehlt M 9. θαυμαστοὶ—θαλάσσης Ps. 92,4 11. ὅταν ὑβριστὴς—ῥόθιον = Hist. II 923, 18—25 ποθὲ V 18. γενεὰ—πορεύεται Eccles. 1,4 25. χρηστοτέρας (von 2. Hand αις über ας) M 28. τοῦ fehlt M 32. τῶν fehlt M 34. προστασίαν M

ἐκεῖθεν ἀθλοθέτην καὶ γυμναστήν, βασιλέα δ' ἐντεῦθεν καὶ πατέρα τὸν αὐτὸν ὁμοῦ καὶ παιδευτὴν καὶ τῆς καρτερίας ἐπόπτην καὶ μάρτυρα».

19. Τοιούτοις χρωμένη τοῖς ῥήμασι καθ' ἡμέραν ἡ θαυμασία Θεοφανὼ παρεμυθεῖτο τὸν Λέοντα καὶ μετερρύθμιζε πρὸς τὸ εὐθυμότερον· καὶ τὰ μὲν πρὸς τὸν ἄνδρα τοιαύτη τις ἦν. τὰ δὲ πρὸς τὸν θεὸν τί τις ἂν λέγοι; τίς δ' ἂν πρὸς ἀφήγησιν ἐξαρκέσειε λόγος τῶν ἐκεῖ παννυχίων ταύτης εὐχῶν καὶ δεήσεων; τίς δὲ κατ' ἀξίαν εἴποι τὸ σκληρὸν τῆς διαίτης καὶ ἀπαράκλητον, τὴν χαμευνίαν, τὴν ἀσιτίαν, τὰς ἀγρυπνίας καὶ ὅσα πρὸς ἕνωσιν ἄγει θεοῦ κατὰ τὸ ἐφικτὸν ἀνθρώποις καὶ ὅσα ἵλεών τε ποιεῖ τὸν θεὸν τοῖς ἡμαρτημένοις καὶ πρὸς τὴν τῶν αἰτουμένων ἐκπλήρωσιν ῥᾷστα ἐφέλκεται; ἀλλὰ γὰρ οὕτω τούτων ἐν τῷ δεσμωτηρίῳ διατελούντων, κατηφείας ἦσαν μεστὰ τὰ βασίλεια. τῆς γὰρ μητρὸς καὶ βασιλίδος θρηνούσης | τὸν υἱὸν [42]) καὶ συχνὰ ἐπιβοωμένης τὸν Λέοντα μετὰ f. 122 σφοδρῶν στεναγμῶν καὶ ἅμα αὐτῇ τῶν ἄλλων υἱέων καὶ θυγατέρων [43]) καὶ ἐπὶ τούτοις τῶν συγγενῶν καὶ φίλων, τίς οὐκ ἂν ἐδάκρυσεν, εἰ μὴ σιδηρᾶν καὶ ἀδαμαντίνην ἐκτήσατο φύσιν, βλέπων μικροῦ καὶ τὰς ἀλόγους φύσεις αἴσθησιν εἰληφυίας τοῦ πάθους; ἔτυχον γὰρ τηνικαῦτα παρὰ τὰς βασιλείους αὐλὰς ἐν οἰκίσκοις ἀφράκτοις συγκεκλεισμένοι τισὶν ἔνιοι τῶν ἐξ Αἰγύπτου καὶ Λιβύης ὀρνίθων [44]), ὁπόσοι ῥᾳδίως πρὸς τὴν τῆς ἀνθρωπίνης φωνῆς ἐξικνοῦνται μίμησιν· καὶ συχνὰ τὸ τοῦ Λέοντος ἀναφωνούμενον ἀκούοντες ὄνομα, ἐμιμήσαντο μετὰ τοῦ θρηνοῦντος ἤθους καὶ αὐτοὶ τὴν φωνήν· καὶ ἦν ἀκούειν ἐξ ἑωθινοῦ πρὸς μεσημβρίαν κἀκ μεσημβρίας πρὸς ἑσπέραν ἀεὶ τῆς ξένης ἐκείνης καὶ συμμιγοῦς τῶν ὀρνίθων ᾠδῆς γέμοντά τε καὶ περιηχούμενα τὰ βασίλεια· τὰ γὰρ κοῖλα τῶν βασιλικῶν στοῶν καὶ θαλάμων δεχόμενα τὴν τῶν ὀρνίθων ἐκείνων φωνὴν ἀντήχουν καὶ ἀντεφώνουν ὥσπερ ἐμψύχου μουσικῆς ἀντιπέμποντα φθόγγον. διὰ δὴ ταῦτα καὶ οἱ παριόντες ἀκούοντες ἄνθρωποι ῥᾷστα πρὸς δάκρυα καὶ θρήνους ἐτρέποντο, οὐχ ὅπως ὁπόσοι τῶν ὁμοφύλων ἀλλὰ καὶ εἴ τινες ἐξ ἀλλοδαπῆς παρῆσαν πρεσβεύοντες ἑτερόδοξοι. ὀψὲ δὲ καὶ ὁ βασιλεὺς αἰδεσθείς, μὴ καὶ αὐτῶν ἀγνωμονέστερος τῶν ἀλόγων κριθείη, ἐξάγει τὸν υἱὸν τοῦ δεσμωτηρίου, ἔτος ἤδη τρίτον [45]) ἐν τούτῳ διηνυκότα, καὶ τὰ τῆς βασι|λείας αὖθις παραδίδωσι κράτη f. 122v. καὶ πάρεδρον παρ' ὅλον ποιεῖται τὸν βίον.

20. Βραχὺς γὰρ ἐκεῖθεν ὁ χρόνος καὶ Βασίλειος τοῦ παρόντος μεθίσταται βίου καὶ μόνος αὐτοκράτωρ ὁ Λέων ἀναγορεύεται καὶ ἅμα ἡ σύζυγος Θεοφανώ, ἣν καὶ διὰ πλείονος ἢ πρότερον ἦγε τιμῆς ὁ Λέων. οὐδὲ γὰρ ὅσην χαρίζονται ταῖς γυναιξὶν ἀγάπην καὶ στοργὴν οἱ ὁμόζυγοι, τοσαύτην καὶ αὐτὸς ἐδίδου τῇ γυναικί, ἀλλὰ πάσης ὑπερβολῆς ὑπερτέραν καὶ σεμνοτέραν, οὐ μόνον ὅτι συν-

---

5. πρὸς θεὸν M 7. χαυμενίαν M 8. τοῖς ἀνθρ. M 15. μικροῦ δεῖν M 20. ἐξακούειν M 22. βασίλων (am Rande von 2. Hand ἴσως βασιλικῶν) M 23. φωνὴν V: ωδὴν M 25. παρόντες M 30. παρέδρομον (von 2. Hand korrig. πάρεδρον) M

ἔπαθεν αὐτῷ καὶ παρήγορος ὤφθη κράτιστος ἐν ἀνάγκης καιρῷ, ἀλλὰ καὶ διὰ τὴν ἄλλην τῆς γυναικὸς ἀρετὴν καὶ τὴν πρὸς πᾶν ἀγαθὸν εὐδοκίμησιν. ὅθεν οὐδὲ τῆς βασιλικῆς ὁλκάδος τοὺς οἴακας μόνος ἄγειν αὐτὸς ἐνόμιζε δεῖν, ἀλλ' ἔχειν ἠξίου καὶ ταύτην συλλήπτορα τῆς τοιαύτης ἐνταυθοῖ κυβερνητικῆς, ἵν' εἰ μὲν ἀσφαλῶς ἰθύνοι τὰ πράγματα, ἐπόπτην ἔχῃ καὶ μάρτυρα τῆς ἀρετῆς τὴν ὁμόζυγον καὶ ἅμα συνηδομένην καὶ ταύτην τοῖς τοιούτοις τῶν ἀγαθῶν τοῦ ἀνδρός, εἰ δέ τι τοῦ δέοντος ἐκπίπτειν ἀναγκάζοιτο πρὸς τῆς τῶν πραγμάτων ἀνωμαλίας καὶ τρικυμίας, ἐγγύθεν ἔχῃ καὶ (ὡς εἰπεῖν) ἀπὸ μέσων τῶν σπλάγχνων τὸν ὁδηγὸν εἰς τὴν τῶν βελτιόνων ἀνάληψιν.

21. Ἐξ ὧν αἰδὼς καὶ δικαιοσύνη ταῖς Ῥωμαίων ἤκμασε πόλεσι καὶ ἠλαύνετο μὲν ἀνομία καὶ ἀμαθία καὶ ὕβρις, εἰσήγετο δ' εὐνομία καὶ παιδεία καὶ f. 123 εὐταξία· καὶ δικασπόλοι μὲν καὶ ἀγορανόμοι τάς τε | δίκας καὶ ἀγορὰς περιήεσαν, νόθοι δὲ καὶ παρέγγραπτοι κῆρες τῶν ψήφων, ὁπόσαι τὸ δίκαιον προφανῶς ἐκαπήλευον, ἐξωθοῦντο τοῦ βήματος. βασιλικῇ γὰρ μεγαλοπρεπείᾳ προσήκειν μὴ ὅπλοις μόνοις ἀλλὰ καὶ νόμοις κοσμεῖσθαι καὶ λόγοις· τὰ μὲν γὰρ εὐδοκιμεῖ κατὰ πόλεμον, οἱ δὲ κατὰ τὴν εἰρήνην· καὶ τὰ μὲν σώμασι πορίζεται τὴν ἀσφάλειαν, οἱ δὲ ψυχαῖς ὁμοῦ τε καὶ σώμασιν· ὃ τοῦ προτέρου μακροῖς τισι κανόσι καὶ μέτροις ἀναγκαιότερον. τότε δὴ οὖν τότε καὶ πάντας, ὅσοι παρ' Ἕλλησι καὶ Λατίνοις ὑπῆρχον νόμοι πολιτικοί, συνελὼν ὁ βασιλεὺς ἐν μόναις ἑξήκοντα βίβλοις συντέταχεν, [46]) οἰκειωσάμενος μὲν ὅσα πρὸς ἀνάγκην τῇ Ῥωμαίων προσῆκε πολιτείᾳ, ἐξελάσας δ' ὅσα περιττὰ καὶ ἀνόνητα. καὶ ἦν ὡς ἀληθῶς τηνικαῦτα τὸ τοῦ θείου φάναι Δαυίδ· Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψε. γυναικὸς γὰρ ἀγαθῆς ἀρετὴ φιλοστόργῳ ψυχῇ καὶ δυνάμει βασιλικῇ συνερρυηκυῖα, ῥύακας εὐνομίας καὶ ἀληθείας πρὸς ἁπάσας τὰς Ῥωμαίων προήκατο πόλεις. τό γε μὴν τῶν λόγων κράτος εἴπερ δή τινων ἁπάντων ἄλλο καὶ τότε μᾶλλον εἴπερ ἄλλοτέ ποτε μεγάλην ἔσχε τὴν ἀκμήν, ἀμφοῖν τοῖν βασιλέοιν μάλα τοι πλείστην δεδωκότων αὐτοῖς τὴν ῥοπὴν καὶ τιμήν. καὶ ἦν ὁρᾶν ὁσίων ἀνδρῶν συναυλίας καὶ σοφῶν ῥητόρων θέατρα καὶ πᾶσαν λόγων f. 123 v. ἀρετῆς ἐπίδειξιν, ἀθροιζομένων ἁπανταχόθεν πολλῶν | καὶ ποιούντων ἄλλην σωκρατικήν τε καὶ πλατωνικὴν στοὰν καὶ Ἀκαδημίαν καὶ Λύκειον τὰ βασίλεια. διὰ δὴ ταῦτα καὶ πολλὴν τὴν ἐπίδοσιν εἴληφε τότε καὶ ἡ τῆς τοῦ θεοῦ ἐκκλησίας εὐπρέπεια· οὐ γὰρ μόνον ὁ βασιλεὺς πολλὰς τῶν ἐτησίων ἑορτῶν καὶ πανηγύρεων οἰκείοις ἐκόσμησε λόγοις καὶ ᾠδαῖς [47]), ἀλλὰ καὶ πολλοὺς τῶν τότε ἐλλογίμων τὰ ὅμοια πράττειν ἐκέλευσεν· ὧν εἷς ἦν καὶ βελτίων, ὅς τά τε ἄλλα

2. ἄλλην τὴν γυναικὸς M 11. παιδιά M 16. οἱ δὲ — ἀσφάλειαν von 2. Hand am Rande M 22. Ps. 84,12 23. ἀγαθῆς V: ἀληθῆς auf e. Rasur (wohl ἀληθῶς) M 30. στοὰν — βασίλεια, vgl. Hist. I 334,23 34. βελτίων fehlt M

μετέφρασε [48]) πρὸς τὸ εὐφραδέστερον καὶ τοὺς πλείους τῶν τε τῆς ἀρετῆς ἀσκητῶν καὶ ἀθλητῶν συνεγράψατο βίους.

22. Ἡ μέντοι θαυμασία Θεοφανὼ ἔρωτας ἐρώτων οὐρανίους γηίνων καὶ θείους ἀνθρωπίνων ἠλλάττετο καὶ οὐδὲν ἡγεῖτο βέβαιον τῶν περιβλέπτων καὶ λαμπρῶν τοῦ βίου, ἀλλὰ πανήγυριν καὶ σκηνὴν ἐνυπνίων ἅπαντα καὶ χοῦν καὶ κόνιν ὑπ' ἀνέμου φερομένην ἄλλοτε ἄλλως ἐνόμιζε τήν τε βασιλείαν αὐτὴν καὶ τὴν τῆς βασιλείου δόξης ἀπόλαυσιν καὶ μηδὲ τοσούτου γοῦν μετέχειν δύνασθαι μηδ' ὅσον τοῖς ἀλόγοις ἡ φύσις χαρίζεται ζῴοις· λέοντας μὲν γὰρ καὶ ἀετοὺς αὐτοχειροτόνητον ἔχειν πρὸς τῆς φύσεως τὸν νόμον τῆς ἀρχῆς καὶ δυναστείας καὶ εἶναι τὸν τοῦ παντὸς αἰῶνος ἀνύοντας δρόμον ὁμοίως ἀεί, μηδενὸς τῶν ἁπάντων ἀποχειροτονεῖν δυναμένου καὶ ἀφαιρεῖν τῆς τοιαύτης δυναστείας τὸ κράτος. τὰς δὲ τῆς ἀνθρωπίνης βασιλείας λαμπρότητας τύχην ἔχειν καὶ χρόνον χειροτο|νοῦντα· διὸ f. 124 καὶ μιμουμένας καὶ αὐτὰς τὴν τοῦ χρόνου ῥέουσαν φύσιν ἀστατεῖν ἀεὶ καὶ μένειν ὅλως οὐκ εἰδέναι. ὅθεν καὶ ἄλλων μὲν ἔλεγεν εἶναι τουτωνὶ τῶν ῥεόντων ὁλοσχερῶς ἀντέχεσθαι καὶ πομπαῖς καὶ δορυφορίαις χαίρειν θεατρικαῖς καὶ λίθων τιμίων ἄνθεσι κοσμεῖσθαι καὶ μύροις χρίεσθαι καὶ ὅλην Ἀραβίαν εὐδαίμονα τῶν ἱματίων καὶ τῶν βοστρύχων αὐτῶν ἀποπνέειν· αὐτῆς δὲ τὸ τὴν ψυχὴν κοσμεῖν καὶ λαμπρύνειν χρώμασιν ἀρετῶν καὶ ἀγαθῶν πράξεων ἄνθεσι περιστέφειν αὐτὴν καὶ θείαις σχολάζειν εὐχαῖς καὶ μελέταις ἀεὶ καὶ διαθρύπτειν πεινῶσι τὸν ἄρτον καὶ χορηγεῖν ἀφθόνως τὸν πλοῦτον τοῖς πένησι καὶ συνταπεινοῦσθαι τοῖς ταπεινοῖς καὶ βασιλικὴν εὐκοσμίαν ἡγεῖσθαι μὴ τὴν τῆς βασιλείου τύχης ὑπεροψίαν ἀλλὰ τὸ πᾶσιν ἀπὸ τοῦ ἴσου προσφέρεσθαι καὶ τοῖς πταίουσι νέμειν ἑτοίμως συγγνώμην· οὐ γὰρ ὑποστάσεις κακίας τὰ πταίσματα ἀλλ' ἐκπτώσεις ἀρετῆς καὶ ἀρρωστήματα διανοίας ἔφασκεν εἶναι καὶ δεῖν οὐκ ὀργίζεσθαι τοῖς τοιούτοις μᾶλλον ἢ συγγινώσκειν καὶ κάμπτεσθαι, τὸ τῆς ἀνθρωπίνης φύσεως ἀναλογιζομένους ἀσθενὲς καὶ εὐόλισθον. πτωχοτροφεῖα δὲ καὶ νοσοκομεῖα οἰκοδομεῖν καὶ θείους ἐπισκευάζειν ναούς, τοὺς μὲν τὰ πεπονηκότα μέρη, τοὺς δὲ ἐξ αὐτῶν κρηπίδων, τοῦτο δ' ἔργον ἦν ἐκείνης τὸ σπουδαιότατον. ὧν εἷς ἐστι καὶ ὁ τοῦ μεγάλου Κωνσταντίνου | νεώς, ὃν καὶ αὐτὸν ἐξ αὐτῶν κρηπίδων εἰς πλεῖστον ἀνήγειρε f. 124 v. κάλλος καὶ μέγεθος καὶ πολλοῖς καὶ ποικίλοις ἐκόσμησεν ἀναθήμασι καὶ προσόδοις παντοίων κτημάτων· ἐν ᾧ καὶ μέχρι νῦν τὸ ἱερὸν αὐτῆς τεθησαύρισται σῶμα. ἀλλὰ τοῦτο μὲν ὕστερον.

23. Ἐκείνη δὲ τοῖς συνεχέσι κατὰ θεὸν πόνοις καὶ ἀγρυπνίαις ὅλην κατατήξασα τὴν φυσικὴν τοῦ σώματος ἰκμάδα, νοσήμασι κάτοχος ἐγεγόνει μακροῖς. δι' ἃ ὁ βασιλεὺς ἀφόρητον εἶχε τὴν λύπην καὶ ἀπελέγετο μικροῦ καὶ τὸν βίον

---

1. τῆς (vor ἀρετῆς) von 2. Hand 4. ἠλάττετο V 10. ἀνύοντα V τῶν fehlt M 13. μιμουμένα καὶ αὐτὰ VM 18. ἄνθεσι περιφανέσι περιστέφειν M 23. ἐκπτώσεως M 33. ἐνείνη (am Rande ἴσως ἐκείνη) M 35. δι' ἃς VM

αὐτόν, τοῦτο μὲν καὶ δι' οὓς ἔθαλπεν ἐν καρδίᾳ φλέγοντας πόθους [49]) αὐτῆς, τοῦτο δὲ καὶ διὰ τὴν ἀπαιδίαν· ἀνάγκη γὰρ ἦν αὐτῷ τελευτῶντι συντελευτῆσαι τό τε ὄνομα καὶ τὸ γένος αὐτοῦ· ἡ μὲν γὰρ ἐξ αὐτῆς γενομένη θυγάτηρ αὐτῷ ἐπὶ νέᾳ τῇ ἡλικίᾳ τὸν βίον ἀπήλλαξεν· ἐλπὶς δ' οὐκέτι παιδὸς ἐξ αὐτῆς ἑτέρου παρῆν· σῶμα γὰρ ἀσθενὲς καὶ ὅλῃ πνευματικῇ θεωρίᾳ προστετηκὸς ἀωρίαν ἔχειν γε εἰκὸς ἂν εἴη δήπου σαρκικοῖς ὑπηρετεῖσθαι πόθοις. οὕτω τοίνυν ὁ βασιλεὺς δυσχεραίνων εἰς χρησμῶν τε ἀνάμνησιν ᾔει προτέρων καὶ συχνὰ τοὺς τῆς γενεθλιαλογίας ἐπὶ νοῦν ἔστρεφε λόγους· πολλὴν γὰρ εἰσηνέγκατο σπουδὴν ἐκ νεότητος περὶ τὴν ἀστροθεάμονα σοφίαν καὶ τοὺς γενεθλιαλογικοὺς λόγους· ἐξ ὧν καὶ μελλόντων ἐπορίσατο πρόγνωσιν οὐ μικρὰν περί τε ἑαυτοῦ καὶ τῶν δια-
f. 125 δόχων αὐτοῦ· ἐμεμαθήκει δ' ἐκεῖθεν καὶ ὅτι τεχθήσεται | τούτῳ παῖς [50]) τῆς βασιλείας διάδοχος καὶ τῷ παιδὶ παῖς ὁμοίως κἀκείνῳ αὖθις ἕτερος καὶ τοῦτο μέχρι πολλοῦ. καὶ θεῖον ἐνόμιζεν εἶναι δόγμα τουτὶ καὶ οἷον ἄφυκτόν τινα πεπρωμένην. διὰ δὴ ταύτην τὴν αἰτίαν καὶ ζώσης ἔτι τῆς ὁμοζύγου λάθρα ἐμίγνυτο εὐπρεπεῖ τινι κόρῃ [51]) τῶν εὖ γεγονότων, οὐ περιφρονῶν τὴν Θεοφανώ· [52]) πῶς γάρ; ἣν καὶ τῆς ψυχῆς αὐτῆς προετίθει καὶ ᾗ πολλὴν παρεῖχε τὴν αἰδῶ· ἀλλ' ἔχει καὶ ἡ τῆς βασιλείας καὶ τοῦ γένους εἰς τὸ μέλλον παραπομπὴ καὶ διαδοχὴ ψυχαγωγούς τινας ἔρωτας καὶ πόθους μάλα ἀφύκτους· τῇ δὲ καὶ συννοούσῃ καλύπτειν ὅμως ἐπῄει τὰ δρώμενα σιωπῇ. καίτοι πολλαί τινες ἦσαν αἱ λάθρα ἐπιφυόμεναι λοίδοροι γλῶσσαι βουλόμεναί τε ἐκμαίνειν τὴν βασιλίδα καὶ μάχην ἀναρριπίζειν κατὰ τοῦ φιλτάτου συζύγου καὶ βασιλέως. ἀλλ' ἀνεξικάκως ἐκείνη πρὸς τὰ τοιαῦτα διακειμένη οὔτε ἤχθετο οὔτε ζηλότυπον ἔτρεφε γνώμην, οἷα φιλεῖ τοῖς τοιούτοις συντρέχειν ὡς τὰ πολλά· ἀλλὰ καὶ θερμοτέρας ὑπὲρ τῆς αὐτοῦ θυμηδίας καὶ εὐρωστίας προσῆγε θεῷ τὰς δεήσεις, ὡς ἂν ἀκωλύτως ἡ τῶν βασιλικῶν αὐτῷ τελῆται πραγμάτων διοίκησις· μηδὲ γὰρ ἔτι κρότοις βασιλικοῖς προσανέχειν ἐθέλουσα μηδὲ κοσμικαῖς ἐπιβρίθουσα φαντασίαις, ἐλεύθερον εἶχε τὸ φρόνημα καὶ τοῖς τοιούτοις καθάπαξ ἀνάλωτον κύμασιν.

f.125v. 24. Ἤδη δὲ καὶ ὁ καιρὸς ἐκάλει τὴν ἁγίαν πρὸς | θάνατον, οὐ γῆρας ἐπάγων καὶ τὰ φυσικὰ τοῦ γήρως νοσήματα· (οὐ γάρ πω οὐδὲ πρὸς ὅλον τῆς ἡλικίας τριακοστὸν ἔφθασεν ἔτος)· ἀλλὰ τῇ γε ἀνυπερβλήτῳ τῆς τοῦ βίου διαίτης καὶ διαγωγῆς σκληρότητι τὸ ἑαυτῆς δαπανήσασα σῶμα ἐξίτηλον πάντη καὶ ἀσθενὲς πεποίηκε καὶ ὅλως φαρμάκοις ἰατρικοῖς ἀνέλπιστον καὶ ἀνεπιχείρητον. ὅθεν καὶ τὴν ἡλικίαν ἔτι νεάζουσαν ἔχουσα τοῦ τῇδε μεθίσταται βίου. καὶ ὁ βασιλεὺς πένθος μὲν ἐποιήσατο μακρὸν ἐπὶ συχναῖς ταῖς ἡμέραις, τὸ δὲ ταύτης ἱερὸν σῶμα μετὰ βασιλικῆς προπομπῆς καὶ δορυφορίας καὶ μεγαλοπρεποῦς εὐκοσ-

---

4. τὸν βίον fehlt M 7. εἴη (statt ᾔει) V 10. οὐ μικρὰν fehlt M διαδόχων M 14. πεπραγμαμένην M 19. συνοῦσῃ M καίτοι V: καὶ τὸ M 23. θερμοτέραις M 29. γήρους M 31. ἀγωγῆς M παντὶ M 32. ἀνεπεχείρητον M 33. καὶ ἔτι M 34. ταῖς fehlt M

μίας καὶ τάξεως ἐν τῷ τῶν ἁγίων Ἀποστόλων ἐκόμισε τηνικαῦτα ναῷ· ἐβούλετο γὰρ μικρὸν ὕστερον μεταθεῖναι, δυοῖν θάτερον, ἢ πρὸς τὸν τοῦ θείου Κωνσταντίνου νεών, ὃν ἐκείνη πρὸς ἀσκητήριον ἑαυτῆς ἐκ θεμελίων ἐδείματο, ἢ πρὸς ὃν αὐτὸς ἔμελλεν ἐγείρειν νεὼν δι' αὐτήν. ἀνήγειρε γὰρ καὶ αὐτὸς μετὰ χρόνον πάνυ τοι δεξιᾷ φιλοτίμῳ καὶ γνώμῃ τῷ ὄντι βασιλικῇ περὶ τὰ πρὸς ἕω μέρη τοῦ τῶν θείων Ἀποστόλων ναοῦ νεὼν ἕτερον σχήματι καὶ θέσει καὶ μεγέθει λίαν διαπρεπέστατον καὶ βασιλικώτατον, οὗ τὴν ἐπωνυμίαν εἰς τὸ Θεοφανοῦς τῆς ἁγίας ἐπέγραψεν ὄνομα, ὕστερον δ' εἰς τὴν τῶν Ἁγίων Πάντων μετήνεγκε κλῆσιν | διὰ φθόνον οὐκ εὔλογον ἐπισκόπων τινῶν· συγγενικοῦ γὰρ ἔφασαν εἶναι f. 126 πόθου τὸ πεπραγμένον ἐκεῖνο καὶ μὴ πάνυ τελέως ὁρῶν πρὸς ἔνθεον ζῆλον. διὰ δὴ ταῦτα καὶ δικαιότερον ἔδοξε τὸ μὲν ταύτης ὄνομα τῇ κοινῇ τῶν Ἁγίων Ἁπάντων συνηριθμῆσθαι κλήσει, τὸ δὲ σῶμα πρὸς τὴν τοῦ θείου Κωνσταντίνου μετενηνέχθαι μονήν. [53]) θεοῦ δ' ἂν ἔργον εἶναί μοι καὶ τοῦτο δοκεῖ καὶ πρός γε δὴ τῆς ἀρετῆς ἐκείνης· πρεπωδέστερον γὰρ εἶναι καὶ οἰκειότερον τῶν ἀλλοτρίων οἰκοδομημάτων τὸ γνήσιον, ὅσῳ καὶ πόδες ἀνθρώπου κρείττους πρὸς ἔρεισμα βέβαιον τῶν ἀλλοτρίων οἱ φυσικοί.

25. Διὸ καὶ μέχρι νῦν ἐνταῦθα κειμένη καὶ πρὸς ὡρισμένους καιροὺς ἱερέων βασταζομένη χερσί, τὰ τῶν διαφόροις κεκακωμένων νοσήμασι σώματα μέτεισι καὶ ἐπιπορεύεται καὶ ποικίλα τελεῖ τὰ θαύματα. ἐχρῆν γὰρ μὴ μόνον τὴν σεβασμίαν ἐκείνης ψυχὴν ἀλλὰ καὶ τὸ σῶμα, μεθ' οὗ τοὺς πρὸς ἀρετὴν ἔτρεχεν ἄθλους, ἄξια λαβεῖν καὶ τὰ γέρα πρὸς τοῦ ἀθλοθέτου θεοῦ καὶ ἀναλόγους τοῖς πόνοις καὶ ταῖς διαθέσεσι τῆς ψυχῆς γενέσθαι καὶ τὰς ἀμοιβὰς τῶν μισθῶν. οὐ γὰρ μόνον ὅτι τὸν ἑαυτῆς ἐκόσμησε βίον τῇ θεοφιλεῖ τῆς ψυχῆς προαιρέσει, μεγάλων ἦν τῶν ἐπάθλων | ἀξία, ἀλλ' ὅτι καὶ δῆλον ἐκείνη πέπραχεν ἅπασιν, ὅσοι f. 126 v. βασιλικὴν ἀξίαν περίκεινται, μὴ εἶναι μηδὲν ἐμποδὼν μηδαμῇ πρὸς ὁδὸν ἀρετῆς τὴν τῆς τύχης λαμπρότητα καὶ τὴν τοῦ πλούτου πολυτέλειαν· παντὶ μὲν γὰρ ἂν εἴη καλὸν τυποῦν καὶ ῥυθμίζειν ἑαυτὸν πρὸς τὰ βέλτιστα, πολλῷ δὲ βέλτιον σύν γε ἑαυτῷ καὶ πλείστοις ἄλλοις ὄφελος κοινὸν καθίστασθαι· πλοῦτος γὰρ καὶ δόξα καὶ βασιλείας φαιδρότης οἴκοθεν οὔτε τὴν τῶν ἀγαθῶν οὔτε τὴν τῶν φαύλων κεκλήρωνται μοῖραν, ἀλλ' ἄγονταί τε καὶ φέρονται, μετασχηματιζόμενα πρὸς τὰς τῆς προαιρέσεως τῶν ἐχόντων ῥοπάς· ὀργάνοις γὰρ ἐοίκασι καὶ αὐτὰ μουσικοῖς, περιμένοντα καθάπερ ψυχὴν τὸν τεχνίτην, ὅπῃ ἂν ἐκεῖνος ἐμπνεύσῃ καὶ ἀνακρούσηται τοὺς τῆς μελῳδίας ῥυθμούς, εἴτε πρὸς τρυφὴν καὶ βλακείαν καὶ ὄρχησιν πανηγυρικὴν εἴτε πρὸς ἔνθεόν τινα βακχείαν καὶ ἁρμονίαν συντονωτέραν ῥᾳδίως ἐκ τῶν γηΐνων ἀνάγουσαν πρὸς τὰ οὐράνια. ἃ δὴ πάντα καλῶς

---

5. ἕω V: ἔσω M 12. πάντων M 13. μετενηνέχθη M 20. τοὺς V: τοῦ M 22. καὶ διαθέσι (von 2. Hand ει über dem zweiten ι) M 26. ἡ . . λαμπρότης καὶ ἡ . . πολυτέλεια M 32. ἐμπνεύσει M

καὶ θεοφιλῶς ἡ ὁσία καὶ διελοῦσα καὶ κρίνασα, ὅσα προσῆν ἔκ τε φύσεως ἔκ τε προαιρέσεως αὐτῇ τἀγαθά, ψυχὴν καὶ πνοὴν ἐνειργάσατο τῇ τε δόξῃ καὶ περι- f. 127 φανείᾳ | τῶν τῆς βασιλείας σκήπτρων καὶ τῇ γε δὴ τοῦ πλούτου δαψιλείᾳ τε καὶ ἀβρότητι. κἀντεῦθεν καὶ κοινὸν ἐγεγόνει καλὸν ἑαυτῇ τε καὶ τοῖς βουλομένοις ἅπασιν, ὁπόσοι τῆς ὁμοίας τύχης ἀπολαύουσιν.

26. Ἐμοὶ δὲ καὶ καθ' ἕκαστα διεξιέναι προθυμουμένῳ, ὁπόσα διὰ χρόνου παντὸς ἡ ὁσία καὶ οἷα τελεῖ τὰ θαύματα, ἐμποδὼν αἱ τῆς κεφαλῆς ἀλγηδόνες καθίστανται. γένοιτο δ' ἂν ἡμῖν εὐχαῖς τῶν τοῦ ἱεροῦ τῆς ἁγίας λειψάνου καλῶς τε καὶ εὐλαβῶς προμηθουμένων γυναικῶν ὁσίων τοῦ τοιούτου νοσήματος ἀπηλλαγμένοις ἐν ἑτέρῳ βιβλίῳ ποιήσασθαι τὴν ἀφήγησιν. σὺ δ', ὦ μακαρία, ἵλεως ἡμᾶς ἐποπτεύοις ἄνωθεν· νῦν γὰρ οὐχ ὡς ἐν ἐσόπτροις οὐδ' ὡς ἐν αἰνίγμασι βλέπεις ὃν ἐπόθεις νυμφίον Χριστόν, ἀλλ' ἀμέσως καὶ καθαρῶς ἐντυγχάνεις αὐτῷ, τὴν κάτω καὶ πρόσκαιρον περιφρονήσασα βασιλείαν καὶ δραμοῦσα πρὸς αὐτὸν ὅλοις πτεροῖς προθυμίας καὶ ὅλῳ ψυχῆς ἔρωτι, ὡς ἂν συμβασιλεύοις ἀπορρήτως εἰς αἰῶνας αὐτῷ τὴν ἀπέραντον βασιλείαν. μὴ οὖν διαλίπῃς ὑπὲρ τῆς σῆς ἱερᾶς τῆσδε μάνδρας, ἣν αὐτὴ μετὰ πολλοῦ καὶ φλέγοντος ἔρωτος συνε- f. 127 v. στήσω, δεομένη καὶ ἱκετεύουσα | καὶ τὸ πρὸς αὐτὴν ἀθροιζόμενον ἱερὸν ποίμνιον ἀνώτερον ἀεὶ διατηροῦσα παντὸς φανεροῦ τε καὶ ἀφανοῦς ὀλεθρίου δεινοῦ.

27. Τήν γε μὴν σὴν ταύτην πατρίδα καὶ πόλιν, ἣ δή σοι τὰ πρὸς τὴν ἐπίγειον ὑπηρετήσατο γένεσίν τε καὶ σεμνὴν πολιτείαν καὶ ἧς ἐβασίλευες περιοῦσα τῷ βίῳ καὶ πρὸς εὐθείας καὶ φιλοθέους ἦγες νομάς, ὁρᾷς ὅσους ὑφίσταται πανταχόθεν χειμαζομένη τοὺς κλύδωνας καὶ ὅσοις περιαντλεῖται κύμασί τε καὶ λίαν ὑβρίζουσι πνεύμασι καθάπερ ναῦς ἐν πελάγει καὶ χειμῶνι συνειλημμένη· οὐ γὰρ μόνον βορρᾶς καὶ νότος Ἀσία τε ἅμα καὶ Εὐρώπη δυσμενῆ καὶ ἀνήμερον τὴν ὁρμὴν πεποίηνται κατ' αὐτῆς πάλαι πολύν τινα χρόνον τοὺς τῆς αὐτῆς εὐδαιμονίας θεμελίους ὅλαις χερσὶ καὶ πόνοις ἀναμοχλεύοντες καὶ ὅλην τὴν ζωτικὴν κατὰ μικρὸν αὐτῆς ὑφαιροῦντες δύναμιν, ἀλλ' ἤδη καὶ αὐτὴ πρὸς ἑαυτὴν σφόδρα ἐκπεπολέμωται καὶ ὅλην ὡς ἀλλοτρίαν τρυγᾷ καὶ θερίζει πικρῶς τῶν οἰκείων χαρίτων τὴν χλόην καὶ μαραίνεσθαι ποιεῖ τοὺς ὀφθαλμοὺς τῆς βλάστης τῶν f. 128 καλῶν καὶ (ἁπλῶς εἰπεῖν) | τοιοῦτον ὑπομένει τὸ δεινὸν ὑφ' ἑαυτῆς αὐτή, ὁποῖον πεύκη καὶ κυπάριττος, ὁπότε δήπουθεν αὐτὰς ἀπογυμνοῖ τῆς κόμης ὑλοτόμου βρίθουσα παλάμη. διὰ δὴ ταῦτα καὶ κλονεῖται καὶ σείεται καὶ πρὸς ἐσχάτους ἐλαύνει κινδύνους. διανάστηθι τοίνυν ὑπὲρ αὐτῆς δεομένη τοῦ φιλανθρώπου θεοῦ,

---

1. οὐσία, korrig. in ὁσία M 7. οὐσία M κεφαλῆς ἀλγηδόνες = Hist. II 955,2 und oft 10. nach βιβλίῳ noch πλατυτέραν M 11. I Cor. 13,12 (βλέπομεν... δι' ἐσόπτρου ἐν αἰνίγματι) αἰνίγματι M 12. ἐντυγχάνοις M 14. συμβασιλεύεις (von 2. Hand οις über εις) M 19. τήνδε μὴν V 24. βορέας M 29. μαραίνεσθαι ποιεῖ V: μαραίνει καὶ τυφλοῖ M 31. πεύκη — παλάμη = Hist. II 901,8; vgl. auch ib. 923,14 33. τοῦ am Rande von 2. Hand M

τοὺς τοιούτους αὐτῆς ἀποσοβῆσαι κλύδωνας καὶ πρὸς γαλήνην ἀγαγεῖν ὁμοῦ καὶ πραότητα· στήριξον τοὺς τῆς βασιλείας οἴακας ἡδρασμένους καὶ ἀκλονήτους τοῖς εὐσεβέσιν ἡμῶν βασιλεῦσιν· ὑπόταξον αὐτῇ πᾶσαν βαρβαρικὴν καὶ πολεμίαν δύναμιν, πλάτυνον ἀπὸ περάτων ἕως περάτων τοὺς ὅρους αὐτῆς τούς τε τῆς ἐκκλησίας ἱεροὺς θεσμοὺς καὶ νόμους εἰλικρινεῖς καὶ ἀκιβδήλους καὶ αὐτοὺς τὸν ἅπαντα διατήρησον χρόνον· καὶ πᾶν εἴ τι νόθον ἔθος καὶ τῆς ἀληθείας πόρρω που πλανώμενον καὶ ἀπῳκισμένον τὴν αὐτῆς εὐκοσμίαν καὶ ὡραιότητα συγχεῖ καὶ ταράττει διενοχλοῦν, εἰς βυθούς τε καὶ πυθμένας ἀπωλείας πέμψον ὑποβρύχιον· καὶ πάντα (συλλήβδην εἰπεῖν) πρὸς τὸ βέλτιον ἀνακαίνισον, χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ καὶ τῷ παν|αγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν f. 128v.
αἰώνων· ἀμήν.

---

1. πρὸς εἰρήνης γαλήνην ὁμοῦ καὶ πραότητος ἀγαγεῖν M 3. ἡμῶν V: ἡ (am Rande μῖν) M πολέμιον VM 10. καὶ θεοῦ καὶ σωτῆρος fehlt M

III.

Synaxarion Sirmondi zum 16. Dezember.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας καὶ ἀοιδίμου Θεοφανοῦς τῆς βασιλίσσης καὶ θαυματουργοῦ, συζύγου γενομένης Λέοντος τοῦ σοφωτάτου βασιλέως, υἱοῦ Βασιλείου τοῦ ἐκ Μακεδονίας.

Αὕτη ὑπῆρχεν γέννημα καὶ θρέμμα τῆς Κωνσταντινουπόλεως, ἐξ αἵματος βασιλικοῦ τὴν γέννησιν ἔχουσα ἐκ τῶν περιβλέπτων Μαρτινακίων· πατρὸς μὲν Κωνσταντίνου, τὴν ἀξίαν ἰλλουστρίου· ἡ δὲ ταύτης μήτηρ ἐλέγετο Ἄννα, ἐκ τῶν ἀφ' ἡλίου ἀνατολῶν τυγχάνουσα· οὗτοι καθ' ἑκάστην ἤσχαλλον καὶ ἐδυσφόρουν, παῖδα μὴ ἔχοντες, καὶ τὴν ἁπάντων κυρίαν καὶ μητέρα τοῦ κτίστου εἰς βοήθειαν ἐπεκαλοῦντο, νύκτωρ καὶ μεθ' ἡμέραν κατὰ τὸν ἐκείνης πανσεβάσμιον ναὸν τὸν ἐν τοῖς Βάσσου λεγόμενον κατατρίβοντες καὶ τὰς δεήσεις αὐτῶν ἐκεῖσε ἐκχέοντες· ‚Δέσποινα (λέγοντες) καὶ κυρία τοῦ κόσμου, λυθήτω δὴ ἡ ἐκτήκουσα ἡμᾶς ἀπαιδία'. καὶ ἐπεὶ πιστῶς ᾔτουν, ἔλαβον παιδίον θῆλυ. τοῦτο δὲ ἀπογαλακτισθὲν καὶ περὶ ἑξαετίαν ἐλάσαν γράμματα ἐκπαιδεύεται καὶ πάσαις καλῶν ἰδέαις καὶ ἀρεταῖς περιστέφεται. ταῦτα βλέποντες οἱ γονεῖς ἔχαιρον καὶ ἐσκίρτων καὶ τῆς εὐπαιδίας οὐκ εἰς μακρὰν τὸ καλὸν ἀπολήψεσθαι ἤλπιζον. ἐπεὶ δὲ ὁ χρόνος τῆς ἡλικίας αὐτῆς προέβη καὶ τοῖς ὁμοίοις (μᾶλλον δὲ κρείττοσι) προέκοπτε, ζήτησις γέγονε κόρης εὐόπτου καὶ ἐναρέτου. εἰς ἣν πάντα τὰ κάλλιστα ὑπερβλύζοντα οἱ βασιλεῖς εὑρηκότες, συνάπτουσι Λέοντι τῷ υἱῷ αὐτῶν καὶ βασιλεῖ. καὶ λοιπὸν χαρᾶς καὶ εὐφροσύνης τὰ πάντα ἐπληροῦντο. οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ ὁ πονηρὸς ζιζάνιον ἐνσπείρας τῇ ἀκοῇ τοῦ βασιλέως Βασιλείου διὰ γλώσσης τοῦ Σανταβαρηνοῦ ἀββᾶ, τὸν βασιλέα Λέοντα ἐγκατάκλειστον ποιεῖται ἅμα γυναικὶ χρόνοις τρισί. τῶν δ'

Codex Berolinens. Phillipps. 1622, fol. 107 sq.

1. θεοφανοὺς 6. Κωνσταντίνου: κόμητος ἰλουστρίου 8. μρᾶν d. h. μητέραν 9. κατὰ: καὶ 13. ἐξαετίαν ἐλάσας (die Endung ας mit dem Abkürzungszeichen) 18. εἰς ἣν 19. χαρὰς

ἐγκαινίων τοῦ προφήτου Ἠλιοῦ καταλαβόντων, ὁ βασιλεὺς τῷ υἱῷ καταλλάττεται καὶ μετ' αὐτοῦ τὴν προέλευσιν ποιεῖται. ἐπεὶ δὲ αὐτοκράτωρ ἀνηγορεύθη Λέων ὁ βασιλεὺς ὑπὸ τοῦ πατρὸς αὐτοῦ διὰ τὸ νοσήματι αὐτὸν περιπεπτωκέναι, τηνικαῦτα ἡ τιμία βασίλισσα Θεοφανὼ εἰς τὰ βασίλεια περινοστοῦσα τῆς ψυχικῆς σωτηρίας ἐπεμελεῖτο, τὴν δόξαν τῆς βασιλείας εἰς οὐδὲν λογιζομένη καὶ τὰ τερπνὰ τοῦ βίου ὡς ἀράχνην καὶ σκιὰν παραβλεπομένη· νυκτὸς γὰρ καὶ ἡμέρας ψαλμοῖς καὶ ᾠδαῖς τὸν θεὸν θεραπεύουσα, οὐκ ἔληγεν ἐλεημοσύναις καὶ πίστεσιν αὐτὸν ἐκζητοῦσα· τὰ γὰρ ἄνθη τῆς ἀλουργίδος φοροῦσα καὶ τὴν ἄλλην εὐπρέπειαν ἔξωθεν περιβεβλημένη, τοῖς ῥάκεσιν ἔνδον κρυπτῶς κατέτρυχε τὸ σῶμα· καὶ ἀσκητικὴν ἀγωγὴν αἱρουμένη τῶν πολυτελῶν τραπεζῶν κατεφρόνει καὶ τῇ εὐτελεῖ καὶ αὐτοσχεδίῳ τοῦ ἄρτου καὶ τῶν λαχάνων ἐτρέφετο πανδαισίᾳ· τὰ δ' ἐν ταῖς χερσὶν αὐτῆς παρεμπίπτοντα χρήματά τε καὶ κτήματα, τίμια τοῖς βιωτικοῖς φαντάσματα, πένησιν ἐδίδου καὶ τῶν πέπλων τὰ πολύτιμα εἴδη τοῖς δεομένοις παρεῖχε· χήραις καὶ ὀρφανοῖς τὴν αὐτάρκειαν ἐχορήγει, τῶν μοναστῶν τὰ εὐτελῆ καταγώγια χρήμασι καὶ κτήμασι κατεπλούτιζε, τῶν οἰκετῶν ὡς ἀδελφῶν προενοεῖτο, οὐ κέκληκέ ποτέ τινα ἁπλῷ ὀνόματι, ἀλλὰ πάντων ἐκυριολόγει τὰς κλήσεις· οὐδέποτε εἰς θυμὸν ἐκινήθη, οὐκ ὠργίσθη ποτὲ οὐ μικρῷ οὐ μεγάλῳ, οὐκ ἐφθέγξατο ὅρκον διὰ τῆς γλώσσης, οὐ ψευδὲς ῥῆμα διὰ τῶν ταύτης χειλέων διῆλθεν οὐδὲ λοιδορία, οὐκ ἐπαύσατό ποτε κρυπτῶς πενθεῖν καὶ σκυθρωπάζειν καὶ τὴν στρωμνὴν τοῖς δάκρυσι καταβρέχειν. καὶ ἡ κλίνη δὲ αὐτῆς χρυσοϋφάντοις μὲν τάπησιν κατεστρωμένη τοῖς οἰκείοις ὡρᾶτο· ἡνίκα δὲ ἡ νὺξ κατέλαβεν, ἐκεῖθεν ἀνισταμένη ψιαθίῳ καὶ τριχίνοις ῥάκεσιν ἐν τῷ ἐδάφει κειμένοις τὴν ἀνάπαυσιν ἐποιεῖτο, ὥραν ἐξ ὥρας ἀνισταμένη καὶ τῷ θεῷ τὰς αἰνέσεις ἀναπέμπουσα. διὸ καὶ ἐκ τῆς ἄγαν σκληραγωγίας ἡ σωματικὴ αὐτὴν περιεστοίχισε νόσος· αὐτὴ δὲ εἰς ἐγκρατείας ἀφορμὴν τὴν νόσον λαβοῦσα, οὐ διέλειπε διαθρύπτειν τοῖς πεινῶσι τὸν ἄρτον. τὸ δὲ στόμα αὐτῆς ἐν τῇ μελέτῃ τῶν θείων νόμων ἐθισθέν, — οὐκ ἐπαύετο τὰ ἱερώτατα λόγια τοῦ Δαβὶδ κατεπᾴδουσα· οὐ παρεωρᾶτο ἐξ αὐτῆς ἡ ἑπτάκις αἴνεσις τοῦ κυρίου οὐδὲ ὕπνωσεν ἀναπαύσεως ὕπνον ἄνευ δακρύων· ταῖς τῶν ἀλλοτρίων συμφοραῖς συμπαθοῦσα, δάκρυσι τὸν θεὸν ἐκλιπαροῦσα, καταπονουμένοις χεῖρα ὀρέγουσα βοηθείας καὶ ὀρφανῶν καὶ χηρῶν προϊσταμένη, τῶν ἐν θλίψει καὶ ἀθυμίᾳ χειμαζομένων ὑπάρχουσα εὐθυμία καὶ παράκλησις, πάντα δὲ τὸν κόσμον καὶ τὰ ἐν κόσμῳ διὰ τὸν Χριστὸν ἀπαρνησαμένη καὶ τὸν χρηστὸν τοῦ κυρίου ζυγὸν λαβοῦσα καὶ τὸν σταυρὸν ἐπ' ὤμων ἀραμένη — τῶν ἐλπιζομένων αὐτῇ οὐ διήμαρτεν ἀγαθῶν. αὕτη αἰσθο-

1. καταλάτεται   4. θεοφανῶ   7. οὐκέληγεν   8. ἀλουργίδος   10. αἰρουμένη   11. εὐτελῆ   12. τοῖς χερσὶν   13. φαντάσμασι   16. οὐκέκληκέ   17. ἐκινίθη   18. ὅρκον   21. ὁρᾶτο   22. κειμένης (aber zugleich über ν das Abkürzungszeichen für d. Endung οις)   25. αὐτὴ   33. χ̄ὶ d. h. χριστὸν = χρηστὸν   ἐπῶμον

μένη τὴν ἐκ τοῦ κόσμου αὐτῆς ἀναχώρησιν, (προέγνω γὰρ τὴν ἐκδημίαν <ἐκ> τοῦ σώματος) ἀσπάσασθαι αὐτὴν πάντας προέτρεψεν τὸν τελευταῖον ἀσπασμὸν καὶ οὕτως ἐν εἰρήνῃ τὸ πνεῦμα τῷ θεῷ παρέθετο.

IV.

Menologion Basilii II zum 16. Dezember.

(nach dem codex Vatic. 1613, fol. 249).

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς μακαρίας Θεοφανοῦς, γυναικὸς Λέοντος τοῦ ἀοιδίμου καὶ σοφωτάτου βασιλέως ἡμῶν γενομένου.

Ἡ μακαρία δέσποινα Θεοφανὼ ὑπῆρχε τῆς Κωνσταντινουπόλεως καὶ θρέμμα καὶ βασίλισσα· ἐγένετο γὰρ θυγάτηρ Κωνσταντίνου ἰλλουστρίου, συγγενοῦς βασιλέων τριῶν· ἡ δὲ μήτηρ αὐτῆς ἐκαλεῖτο Ἄννα· ἦν δὲ καὶ αὐτὴ στεῖρα καὶ ἄγονος ὡς ἡ πρώην Ἄννα, ἡ μήτηρ τοῦ προφήτου Σαμουήλ. ἀλλὰ πυκνῶς ἀπερχομένη καὶ παρακαλοῦσα μετὰ τοῦ ἀνδρὸς τὴν ἁγίαν δέσποιναν ἡμῶν θεοτόκον, τὴν ἐν τοῖς Βάσσου τιμωμένην, συνέλαβεν ἐν γαστρὶ τὴν ἁγίαν Θεοφανώ. καὶ γεννήσασα ἐξέθρεψεν ἐναρέτως διδάξασα αὐτὴν τὰ γράμματα. καὶ ἐπεὶ Βασίλειος ὁ περιβόητος βασιλεὺς γυναῖκα ἐβουλεύσατο τῷ υἱῷ αὐτοῦ Λέοντι τῷ σοφωτάτῳ βασιλεῖ, παρὰ ταύτην κρείττονα μὴ εὑρών, δέδωκεν αὐτῷ ταύτην. στεφθεῖσα δὲ καὶ βασιλεύσασα, ὅμως τῶν πτωχῶν οὐκ ἐπελάθετο, ἀλλὰ τῆς συνήθους ἐχομένη ἀρετῆς καὶ ἐλεημοσύνης, ἐθεράπευε τὸν θεόν, τὸν αὐτῇ δωρησάμενον τὴν βασιλείαν οὐρανῶν.

---

2. ἐκδημίαν τοῦ σώμ. 5. γινομένου

ANMERKUNGEN.

1 (S. 2, 10) Μαρτινάκιοι: Die Chronisten erzählen von einem Martinakios, den Kaiser Theophilos (829—842), obwohl er mit ihm verwandt war, zum Mönch scheren liess wegen der Prophezeiung eines sarazenischen Weibes, dass nach dem Sohne des Theophilos das Geschlecht der Martinakier für längere Zeit die Herrschaft innehaben werde; vgl. Genesios 70, 8 ff. Bonn. und z. B. Theophan. cont. 121, 17 Bonn.: αὐτίκα τοῦτον τὸν Μαρτινάκην, καίτοι γε προσῳκειωμένον αὐτῷ πως κατὰ συγγένειαν, πρὸς τὸ μονάζειν ἀπέκειρεν καὶ τὸν αὐτοῦ οἶκον θεοῦ καὶ μοναχῶν ἐναπέδειξεν ἐνδιαίτημα. Die Nachricht des Skylitzes (Kedrenos II, 198, 10 Bonn.), dass auch Eudokia Ingerina, die anfangs Mätresse Michaels III und dann Gattin des Kaisers Basileios I war, aus dem Geschlechte der Martinakier stammte (θυγάτηρ ... Ἴγγερος, τοῦ γένους καταγομένου τῶν Μαρτινακίων), ist ein Zusatz, der sich in der sonst wörtlich ausgeschriebenen Quelle des Skylitzes (Konst. Porphyr. v. Basilii = Theophan. cont. 235, 7 Bonn.) nicht findet.

2 (S. 2, 16) Βάσσου ναός: Bassos, der Stifter dieser der Gottesmutter geweihten Kirche, war unter Justinian (527—565) ἔπαρχος τῶν πραιτωρίων, vgl. Prokop. Anekd. c. 21, 2 und Ps.-Kodinos de aedific. 90, 10 Bonn.: τὰ δὲ Βάσσου ἀνήγειρε Βάσσος πατρίκιος ἐπὶ τῆς βασιλείας Ἰουστινιανοῦ τοῦ μεγάλου, ἔχων αὐτοῦ καὶ τὸν ἴδιον οἶκον· οὕτινος εἰς ἔχθραν ἐλθοῦσα Θεοδώρα ἡ γυνὴ τοῦ Ἰουστινιανοῦ ἔσφιγξε τὴν κεφαλὴν αὐτοῦ μετὰ χόρδας (l. χορδάς) καὶ ἔπνιξεν αὐτόν. Dass die Kirche des Bassos später (nach der Zeit des Kaisers Basileios I) mit einem Mönchskloster verbunden war, berichtet Nik. Gregoras in der Vita der hl. Theophano (S. 29, 11), aber eine genaue Angabe über die Zeit, in der dies geschah, fehlt uns. Philotheos v. Selymbria (c. 1365) in seiner Vita Macarii (ed. P.-Kerameus Μαυρογορδ. Βιβλ. Ἀνέκδοτα cap. 7) erwähnt eine zu seiner Zeit verfasste Lebensbeschreibung des Bassos: τὴν τοῦ Βάσσου τοῦ θείου (μονὴν) τῆς παναχράντου καὶ θεομήτορος, οὗ πρὸ βραχέος τοὺς ἀσκητικοὺς ἀγῶνας καὶ ἱδρῶτας

γραφῇ παραδέδωκέ τις τῶν ἀρίστων καὶ ἐλλογίμων ἀνδρῶν. Unter dem Patriarchen Matthaios (1400) wurde das Bassoskloster in völlig verwahrlostem Zustande dem Eunuchen Joannes Kallikrenites auf seine Bitten übergeben und von demselben auf eigene Kosten restauriert (Miklosich u. Müller, Acta Patr. II p. 388 f.).

3 (S. 3, 3) ἀετός: Im heidnischen Altertum galt der dem Götterkönige Zeus geheiligte Adler als ein durch sein Erscheinen glückverheissender Vogel. Als z. B. Alexander der Grosse geboren wurde, setzten sich zwei Adler auf den Giebel des väterlichen Palastes und prophezeiten dadurch dem Kinde die doppelte Herrschaft über Europa und über Asien (Justin 12, 16, 5). Ebenso verhiess dem Tiberius ein Adler, der sich auf den Giebel seines Hauses setzte, eine glückliche Zukunft (Suet. Tiber. 14; vgl. darüber P. Schwarz, Menschen und Tiere im Aberglauben der Griechen u. Römer. Gymn. Progr. Celle 1880 S. 30—33). Im Anschluss an diese antiken Anschauungen entstanden auch unter den Byzantinern ähnliche Legenden, in denen plötzlich über einem Kinde erscheinende Adler die zu erwartende Macht und Herrschaft desselben andeuteten. So soll auch der spätere Kaiser Basileios I in frühester Kindheit wiederholt im Schlafe von einem Adler beschattet worden sein (Konst. Porphyrog. v. Basil. = Theophan. cont. 218, 12; 219, 11 Bonn.).

4 (S. 4, 14) χρῖσαι ἐλαίῳ τε καὶ συμπαθείᾳ: Für diese auffallende, durch den (bes. in den obliquen Kasus hervortretenden) Gleichklang der Worte ἔλαιον und ἔλεος hervorgerufene Zusammenstellung lassen sich einzelne Wendungen ähnlicher Art anführen, z. B. in der Vita Basilii jun. p. 18, 25 Veselovskij (Sbornik der II. Abteil. der Kais. Akademie der Wiss. in St. Petersburg. Bd. 46,2): ἀνοίγουσι τὰ κεράμια καὶ ἐξέχεον τὸ ἔλαιον... ἐπὶ τῆς κεφαλῆς μου καὶ γέγονα ὅλη πλήρης ἐλαίου καὶ ἐλεημοσύνης καὶ εὐωδίας πνευματικῆς und in der Vita Theodosii p. 35, 22 Usener: ἑτέρους δὲ πτωχείᾳ καὶ νόσῳ ταλαιπωρουμένους ἀλείφων ἐλέῳ παραπλησίως ἠσπάζετο; vgl. auch H. Useners Anmerkung dazu auf S. 144.

5 (S. 5, 5) Λέοντος... πρώτου υἱοῦ: Bekanntlich musste Basileios als Oberkämmerer des Kaisers Michael III auf dessen Wunsch sich von seiner Gattin Maria trennen und die Konkubine des Kaisers Eudokia Ingerina heiraten (im J. 865, vgl. Hergenröther, Photius I 582 f.). Als ältester Sohn des Basileios gilt allgemein der in jugendlichem Alter verstorbene Konstantinos. Die anonyme Vita ignoriert ihn vollständig und nennt Leo den ersten Sohn des Kaisers Basileios. Zur Erklärung dieses Umstandes müssen wir etwas weiter ausholen. Während die meisten Quellen (Niket. Paphlag. v. Ignatii, Genesios, Konst. Porphyr. v. Basilii u. a.) den Konstantinos einfach als den ältesten der vier Söhne des Basileios bezeichnen, gilt

dem Logotheten und seiner Sippe erst Alexandros, der dritte derselben, als rechtmässiger und echter Sprössling (οὗτος παῖς γνήσιος ὢν Βασιλείου Georg. Monach. 755,5 Muralt, vgl. Hergenröther, Photius II 11 f.). Leo wird vom Logotheten als ein Sohn des Kaisers Michael bezeichnet: ἐγεννήθη δὲ Λέων ὁ βασιλεὺς ἐκ Μιχαὴλ καὶ Εὐδοκίας τῆς Ἰγγιρίνης, ἔτι περιόντος αὐτοῦ Μιχαήλ (Georg. Monach. 747, 1). Dasselbe berichtet Zonaras IV, 22, 7 Dind. (und Michael Glykas p. 297) mit der naheliegenden Motivierung, Eudokia sei, als sie in das Haus des Basileios überging, bereits von Michael schwanger gewesen. Von Konstantinos, dem älteren Bruder des Leo, erzählt der Logothet gleichfalls, er sei ein Sohn des Michael von der Eudokia gewesen, doch sei das Gerücht gegangen, dass er eigentlich ein Sohn des Basileios sei: τελευτᾷ δὲ Κωνσταντῖνος, ὁ υἱὸς Μιχαὴλ βασιλέως ἐξ Εὐδοκίας, ὡς δὲ λόγος, υἱὸς Βασιλείου (Georg. Monach. 761, 6). Diese allein für sich dastehenden Notizen des Logotheten und seiner Nachtreter können als Stadtklatsch und Erfindung einer dem Kaiser Leo feindlichen Tradition keine Beachtung finden. Ducange (Famil. Byz. p. 140 ed. Paris.) meint, dass Konstantinos ein Sohn des Basileios und seiner ersten Gattin Maria gewesen sei: natum ex primo Basilii coniugio, vel ex eo constat, quod arma militaria induerat ante annum 879, cum praeterea Leonem primum ex Eudociae filiis fuisse tradant scriptores. Proinde ille est Basilii filius, cui Ludovicus II imperator occidentis Hirmengardem [1]) filiam uxorem dare decreverat, quo nomine legatos anno 869 Cpolim missos a Ludovico iidem narrant. Diese Annahme ist von Ducange zwar nicht genügend begründet, aber sie bietet doch den besten und glaubwürdigsten Ausweg dar. Es steht fest, dass Konstantinos am Ende des J. 879 gestorben ist, und zwar ἐν τῇ ἀκμῇ τῆς νεότητος (Konst. Porphyr. v. Basil. p. 345, 6 Bonn.), welcher Ausdruck doch besser für ein Alter von 17 Jahren und mehr passt, als für 14 Jahre, die sich ergeben, wenn man die Geburt desselben ins erste Jahr der Ehe des Basileios mit Eudokia verlegt (865). Ferner wissen wir, dass Konstantinos seinen Vater auf dessen Feldzügen nach Tephrike und Germanikia im J. 877 begleitete (vgl. Hergenröther, Photius II 316 und F. Hirsch, Byz. Studien

1) Der Plan kam aber nicht zur Ausführung (vgl. Hergenröther, Photius II 168 und 119). Irmengard heiratete im J. 876 (vgl. Hincmari Remensis annales bei Pertz, Monumenta German. Script. t. I p. 499) den Boso, der namentlich durch ihre ehrgeizigen Bemühungen im J. 879 zum König der Provence erwählt wurde, vgl. Hincmar (Pertz, Monum. p. 512): Interea Boso, persuadente uxore sua, quae nolle vivere se dicebat, si filia imperatoris Italiae et desponsata imperatori Graeciae [i. e. Constantino, Basilii imperatoris filio] maritum suum regem non faceret,... episcopis illarum partium persuasit, ut eum in regem ungerent et coronarent.

S. 250 f.). Einen 11—12 jährigen Knaben pflegt man aber doch kaum in einen ernsten, strapazenreichen Kampf mitzunehmen. Alles dies weist auf eine Zeit hin, die vor der Ehe des Basileios mit Eudokia liegt, d. h. also auf seine erste Ehe. Dass einige Schriftsteller Leo den ersten Sohn des Basileios aus der Ehe mit Eudokia nennen, mag richtig sein, obwohl Ducange keine Belegstellen anführt. Dies meint vielleicht auch die anonyme Vita mit dem Ausdrucke πρῶτος υἱός. Derselbe kann übrigens auch so verstanden werden, dass Leo nach dem Tode des Konstantinos das erste der noch lebenden Kinder des Kaisers war, vgl. Theophan. cont. 352, 18: Λέων ὁ πραότατος καὶ σοφώτατος καὶ πρῶτος τῶν ἔτι περιλειπομένων υἱῶν. Denn jedenfalls fand die Brautschau für Leo doch erst nach dem Tode des Konstantinos statt (also ungefähr im J. 880). Darnach wäre die damals 15 Jahre alte Theophano (vgl. S. 4, 31; 5, 1 ff.) im J. 865 geboren.

6 (S. 5, 8) ἀναζητῆσαι κόρην: Eine Berufung der schönsten Jungfrauen des ganzen Reichs, um aus ihnen eine Braut für den Thronerben auszusuchen, war in Byzanz um diese Zeit recht beliebt. Wir kennen ausser dem hier genannten noch zwei Fälle einer solchen Brautschau. In der (noch unedierten) Vita des hl. Philaretos des Barmherzigen (vgl. Chr. Loparev im Viz. Vremennik 4, 349) wird erzählt, dass unter der Kaiserin Eirene (im J. 788) ἀπεστάλησαν ἐν πάσῃ τῇ τῶν Ῥωμαίων ἐπικρατείᾳ ἀπὸ ἀνατολῶν ἕως δυσμῶν ζήτησιν ποιούμενοι κόρης ὡραιοτάτης, ἥτις ἦν ἀξία συζευχθῆναι τῷ βασιλεῖ Κωνσταντίνῳ. Die Wahl fiel unter 40 Bewerberinnen auf Maria, die Enkelin des Philaretos, eines einfachen Landbesitzers. Ebenso veranstaltete die Kaiserinwitwe Euphrosyne für ihren Stiefsohn Theophilos (im J. 830) eine Brautschau, bei der nach dem bekannten Berichte der Chronisten die schöne Kassia sich durch ihre schlagfertige Antwort hervorthat (vgl. Krumbacher, Kasia S. 312 f.), während die von W. Regel (Analecta Byzantino-Russica S. 4) herausgegebene Vita s. Theodorae eine davon abweichende Legende bietet, nach welcher Theodora, die schliesslich vom Kaiser erwählt wurde, sich vor den anderen 7 Kandidatinnen dadurch auszeichnete, dass sie allein den Tags zuvor an jede einzelne vom jungen Kaiser verteilten Apfel (und dazu noch einen zweiten) vorweisen konnte. Die hier bei der Brautschau des Leo geschilderte Szene, wo alle die Schönen auf dem Boden sitzend auf ihre Fussspitzen starren und plötzlich beim Eintritt des Kaiserpaares sich so schnell als möglich wieder auf ihre Füsse zu stellen versuchen, muss sehr possierlich gewesen sein.

7 (S. 6, 27) κατεστέφετο γάμος: Die Hochzeit des Leo und der Theophano fand nach den Erwägungen von C. de Boor (vita Euthymii S. 105) im Winter 881—882 statt.

8 (S. 6, 31) ἑπτάλοφος: Wie das alte Rom, so war auch Byzanz eine

Siebenhügelstadt, vgl. des Konstantinos Rhodios Beschreibung der Apostelkirche v. 447 ff. (Revue des études grecques IX, 1896): λόφος μέγιστος, ἑπτάδος κρατῶν λόφων· | ἑπτὰ γὰρ ἀντέλλουσιν ἔνδοθεν λόφοι | τῆς καλλιμόρφου καὶ σοφῆς Βυζαντίδος und Ps.-Kodinos, de aedif. 77, 3 Bonn.: τὸ καλούμενον Μεσόλοφον μέσον ἐστὶ τῶν ἑπτὰ λόφων.

9 (S. 7, 8) τῆς μητρὸς ἀναπληροῦν... τόπον: Bei gewissen Zeremonien und Festlichkeiten des Hofes war zur Repräsentation durchaus auch die Anwesenheit der Kaiserin nötig. War dieselbe bereits gestorben, so vertrat die Kronprinzessin oder irgend eine andere Prinzessin ihre Stelle, vgl. Georg. Mon. cont. 779, 21 Muralt: Λέων δὲ ὁ βασιλεὺς στέφει Ἄνναν θυγατέρα Ζωῆς τῆς ἀπὸ τοῦ Ζαύτζα διὰ τὸ μὴ δύνασθαι ποιεῖν τὰ ἐκ τύπου κλητόρια, μὴ οὔσης αὐγούστης. Der Tod der Kaiserin Eudokia fiel etwa ins J. 882.

10 (S. 7, 15) Σανταβαρηνός: Über Theodoros Santabarenos, den Freund des Photios, der durch seine Zauberkünste das Vertrauen des Kaisers Basileios gewann und durch seine Intriguen ein Zerwürfnis zwischen dem Kaiser und seinem Sohne Leo hervorrief, vgl. Konst. Porphyr. vita Basil. (= Theoph. cont. 348, 20 ff. Bonn.). Über sein Vorleben und seine späteren Schicksale vgl. Hergenröther, Photius I 395 f.; II 684 f. und de Boor, vit. Euthymii S. 140. Santabarenos hiess er nach der Stadt Santabaris in Phrygien (s. Ramsay, the historical geography of Asia minor p. 144), vgl. Vita s. Nicolai Studitae (Migne 105 p. 912): Θεόδωρος ὁ ἐκ χωρίου τοῦ Σανταβαρέως ἐξορμώμενος καὶ διὰ τοῦτο Σανταβαρινὸς παρωνύμως ὑπό τινων ἐπονομαζόμενος. Wie die anonyme Vita den Santabarenos mit dem Magier Barjesus (=Elymas) vergleicht, so nennt ihn auch Konst. Porphyr. l. l. γόης καὶ ἀπατεών, aber die bekannte Geschichte von der Zauberbeschwörung, bei der Santabarenos dem Kaiser Basileios seinen jüngst gestorbenen und tiefbetrauerten Sohn Konstantinos in einem Trugbilde vorführt (vgl. Anm. 39), übergeht der kaiserliche Autor ebenso wie unser Anonymus mit Stillschweigen.

11 (S. 8, 4) ἐν ἑνὶ κοιτῶνι κατακλείει: Vgl. Konst. Porphyr. v. Bas. (Theoph. cont. 350, 9 Bonn.): πρὸς ὀργὴν ὁ βασιλεὺς κατὰ τοῦ υἱοῦ διανίσταται καὶ κατά τινα τῶν βασιλείων οἴκων, ὃς Μαργαρίτης κατονομάζεται, ἔμφρουρον τοῦτον πεποίηται καὶ τῶν ἐρυθρῶν πεδίλων ἀπογυμνοῖ.

12 (S. 8, 9) ἀββᾶς... ἐπάξιος τοῦ μῦ: Der in der biblischen Geschichte wohlbewanderte Autor will hier den ἀββᾶς zu einem Ἀμάν, dem bekannten Judenfeind und Gegner der Esther, umbenennen, vgl. S. 11, 7. Weniger gesucht und gewaltsam wäre diese Deutung gewesen, wenn er in seinem Texte den Akkusativ ἀββᾶν gebraucht hätte.

13 (S. 8, 16) τὴν παῖδα: Das einzige Kind des Leo und der Theo-

phano, das in früher Jugend noch vor der Mutter starb (etwa im Winter 892—893, vgl. C. de Boor, v. Euth. S. 105), hiess, ebenso wie die Grossmutter, — Eudokia, vgl. Konst. Porphyr. de cerim. 643, 11: ἕτερος λάρναξ πράσινος Θετταλὸς (in der Apostelkirche), ἐν ᾧ ἀπόκειται ἡ ἁγία Θεοφανώ, ἡ πρώτη γυνὴ τοῦ μακαρίου Λέοντος, σὺν Εὐδοκίᾳ τῇ θυγατρὶ αὐτῆς.

14 (S. 10, 2) Εἰσδανδούλ: Diese fromme Matrone erwähnen die Akten des hl. Akepsimas und seiner Genossen (im 4. Jahrh.), und zwar heisst sie in den griechischen Akten (Migne 116, 832 ff.) Ἰσδανδούλ, in den syrischen (Assemani I 171 ff) Jazdundocta. Auch in den syrischen Akten der 120 hl. Märtyrer in Hadiabena unter dem persischen Könige Sapor II im J. 344 (Assemani I 105 ff.) kommt sie vor. Hier heisst es von ihr p. 106: in ea tamen rerum angustia temporumque acerbitate constitutis adfuit opitulatura nobilissima quaedam femina et cum laude memoranda ex urbe Arbela provinciae Hadiabenae; Jazdundocta vocabatur, quod nomen recte interpreteris deo natam. Haec mulier opulentissima facultatibus suis martyrum coetum aluit, quamdiu in publicis vinculis jacuerunt ideoque virtutis officium tanta cum animi constantia atque benignitate praestitit, ut nec ipsa sanctorum necessitatibus deesset, nec in iis sublevandis adjutorem quemquam aut quaereret aut pateretur. Ferner p. 107: Jamque dies instabat decreta neci. Quod cum Jazdundocta a quodam Christiano familiari suo clam rescivisset, fore, scilicet, ut mane sequentis diei beatum illud agmen ad supplicium duceretur, continuo ad carcerem advolat, martyrum pedes eluit, detractisque vestibus loci foeditate corruptis, singulis candidam stolam largitur ac velut caelestis thalami sponsos exornat. Mox omnes lauta atque opipara coena donat, coenantibus ipsa inservit. Opportuna praeterea ad martyrium cohortatione paratos animos alacriores efficere pergit: «Exuite jam metum», ajebat etc.

15 (S. 10, 21) ἐκ Θεσσαλονίκης: Es war also der hl. Demetrios, der bekannte Schutzpatron der Stadt Thessalonich. Über ein altes Bild desselben auf einer Elfenbeinplatte u. a. vgl. P. Papageorgiu in der Byz. Zeitschr. I 479 ff. Uns sind drei Homilien des Kaisers Leo über den hl. Demetrios erhalten (vgl. z. B. den cod. Paris. 1201, fol. 154—176); da dieselben aber noch nicht ediert sind, so lässt sich nicht sagen, ob der kaiserliche Autor in ihnen die von der anonymen Vita erwähnte persönliche Beziehung zum Heiligen berührt hat. Die dritte Homilie hielt der Kaiser (wie es im Titel derselben heisst), ὅτε τῷ ἀοιδίμῳ τῆς εὐσεβείας ἀγωνιστῇ καὶ τὰ οὐράνια περιπολοῦντι ἀνάκτορα Δημητρίῳ ὁ οἶκος ἐν τοῖς βασιλείοις ἀνιερώθη (vgl. Catalogus codd. hagiogr. graec. bibliothecae Paris. 1896, S. 99 f.).

16 (S. 11, 10) τὴν νόσον τοῦ ἄνακτος Βασιλείου: Aus der Notiz in der Vita Euthymii p. 2, 20, dass der Kaiser Basileios 9 Tage nach dem

bekannten Jagdunglück — (er wurde von einem Hirsch auf das Geweih genommen und so 16 Meilen weit fortgetragen) — gestorben sei (am 29. Aug. 886), schliesst C. de Boor (S. 93), dass dadurch eine längere Krankheit des Kaisers ausgeschlossen sei und dass derselbe in rüstigster Kraft für Alle ganz unerwartet vom Tode überrascht worden sei. Diese Annahme wird aber durch die Darstellung unseres Autors einigermassen modifiziert. Jedenfalls muss während der Zeit, in welcher das Zerwürfnis zwischen Vater und Sohn bestand (also wenigstens mehrere Monate vor dem Tode des Basileios, vgl. Anm. 45) der Gesundheitszustand desselben bereits so ungünstig und besorgniserregend gewesen sein, dass Santabarenos sich vor dem Zorne des Thronerben Leo meinte durch Verlassen der Hauptstadt salvieren zu müssen. Auch Stylianos erwähnt in seiner Fürsprache für den eingekerkerten Leo (12, 19 ff.), dass alle Unterthanen über die Krankheit des greisen Kaisers betrübt seien und seine ἀπουσία beklagten, und 12,3 deutet er verblümt, aber ganz deutlich den Kräfteverfall des (damals nach der gewöhnlichen Annahme [1]) schon 72 jährigen) Kaisers an: τὸν ἥλιον βλέπω πρὸς δυσμὰς ἀπιόντα, vgl. auch 14, 4: νόσῳ καὶ γήρᾳ καμφθείς.

17 (S. 11, 16) Στυλιανὸς .... Ζαούτζης: Auch der Logothet (Georg. Mon. cont. 763, 18 Muralt) berichtet, dass, als der erzürnte Basileios sogar geplant habe, Leo blenden zu lassen, neben dem Patriarchen Photios der Hetaireiarch Zautzes ihn davon abgebracht habe. Aber eine so hervorragende Rolle, wie sie die anonyme Vita den Zautzes als Fürsprecher für den verstossenen Leo spielen lässt, wird ihm von niemandem sonst zuerteilt. Die mit allen Details wiedergegebene freimütige Rede des Stylianos zeugt für das freundschaftliche und vertrauliche Verhältnis, in dem derselbe, ein Landsmann des Kaisers, zu ihm stand, und bestätigt die Folgerungen, die de Boor (v. Euth. S. 132 u. 136) in dieser Hinsicht aus der Vita Euthymii gezogen hat. Andererseits ignoriert der anonyme Verfasser vollständig die landläufige, auch von Konst. Porphyr. (Theoph. cont. 350, 21 ff. Bonn.) aufgenommene Erzählung von dem sprechenden Papageien, dessen Klagerufe «αἴ αἴ κῦρ Λέων» endlich den Zorn des kaiserlichen Vaters überwunden haben sollen (vgl. Anm. 44).

---

